ΣΑΠΦΩ Η ΜΥΤΙΛΗΝΑΙΑ

ΥΠΟ

ΙΩΑΚΕΙΜ Ι. ΠΑΥΛΙΔΟΥ

ΛΕΣΒΙΟΥ. Paulides, Joach. J.

INAUGURAL-DISSERTATION

ZUR

ERLANGUNG DER DOCTORWÜRDE

DER

HOHEN PHILOSOPHISCHEN FACULTÄT
DER UNIVERSITÄT ERLANGEN

VORGELEGT.

LEIPZIG.
DRUCK VON W. DRUGULIN.
1885.

ΣΑΠΦΩ Η ΜΥΤΙΛΗΝΑΙΑ

ΥΠΟ

ΙΩΑΚΕΙΜ Ι. ΠΑΥΛΙΔΟΥ

ΛΕΣΒΙΟΥ.

INAUGURAL-DISSERTATION

ZUR

ERLANGUNG DER DOCTORWÜRDE

DER

HOHEN PHILOSOPHISCHEN FACULTAT

DER UNIVERSITÄT ERLANGEN

VORGELEGT.

LEIPZIG.

DRUCK VON W. DRUGULIN.

1885.

Πηγαὶ ἐκ τῶν Νεωτέρων.

Πολλούς μέν τινας τῶν ἀρχαίων συγγραφέων, Κλασικῶν τε καὶ μή, Ἑλλήνων καὶ Ῥωμαίων ὑπ' ὄψει ἐπὶ τὸ ἔργον ἔσχομεν, τούςδε δ' ἐκ τῶν νεωτέρων κυριώτατα.

Frid. Welcker. Kleine Schriften, Band I, II, IV, V.

Herm. Köchly. Akademische Vortr. u. Reden, I. 1859.

Hans Flach. Geschichte d. Griech. Lyrik, I, II. 1883|4.

Sev. Plehn. Lesbiacorum liber. 1826.

Christ. Neue. Sapphonis fragmenta. 1827.

G. Bernhardy. Grundr. d. Griech. Literatur. I, II. (γ'. Ausgabe).

Karl Sittl. Geschichte d. Griech. Literatur. 1884.

Th. Bergk. Poetae Lyrici Graeci, Band III. (Fragm.) 1878|82.

Alfr. Schöne. Symbola philol. Bonn. Fasc. II. 1867.

Ulrici. Geschichte d. Hellen. Dichtkunst. II.

Th. Kock. Alkäos u. Sappho. 1862.

Fr. Richter. Sappho u. Erinna. 1883.

E. Buchholz. Anthologie d. Lyriker. II. 1875.

K. F. Hermann. Lehrbuch d. Griech. Antiquit. IV (Blümner). 1882.

Alb. Schwegler. Geschichte d. Philosophie. 1879.

Ern. Curtius. Alterthum u. Gegenwart. 1881.

Pauly's. Realenkyklopaedie.

Volger, Möbius, Arnold etc. Sappho.

O. Müller. Geschichte d. Griech. Literatur. 1841|57.

H. Heller. Philologus, 11. Jahrg. 1856.

L. Grasberger. Erzieh. u. Unter. in Alterthum, III. 1875|81.

H. Göll. Kulturbilder aus Hellas u. Rom. 1878.

K. Hermann. Opuscula, VI. 1835.

Zander. Beiträge z. Kunde d. Insel Lesbos. 1827.

Σημείωσις Α΄.

Τὸ μὲν ὅλον ἔργον, ὅπερ ὡς Διατριβὴ ἐναίσιμος τῇ μεγατίμῳ προὐτέθη Φιλοσοφικῇ Σχολῇ ἐκ τριῶν συνιστάμενον Κεφαλαίων, „Σαπφὼ ἡ Μυτιληναία“ ἐπιγέγραπται· τουτὶ δὲ νῦν ἰδίᾳ τὸ κύριον Κεφάλαιον „Ὅ,τι ἀληθὲς περὶ Σαπφοῦς“ οὕτως ἐπιγραφόμενον, τύποις ἐκδοθέν, τῇ Σχολῇ ταύτῃ κατὰ τὰ νενομισμένα παραδίδοται, ἐπακολουθήσει δ’ οὔπω βραδύνοντα καὶ τὰ ἕτερα Κεφάλαια, ἐν ἑνὶ ἅπαντα συνεκδεδομένα ἔργῳ.

Σημείωσις Β΄.

Ἐν ταῖς παρεχομέναις ἔκ τε τῶν ἀρχαίων καὶ τῶν νεωτέρων μαρτυρίαις τὰ τῶν ἀρχαίων χωρία τὰ πολλὰ μὲν τῇ ἡμετέρᾳ ἐνύφανται λέξει, τοῦ ὀρθοῦ λόγου πολλάκις εἰς πλάγιον τρεπομένου, ἔστι δ’ ὅτε καί, ὡς ἔχει ταῦτα, καταγράφεται· τὰ δὲ τῶν νεωτέρων εἰς τὸν Ἕλληνα μεταφέρεται λόγον, ὁτὲ μὲν ἐν κεφαλαίῳ καὶ περιλήψει τινί, ὁτὲ δ’ ὁ νοῦς μόνον αὐτῶν. Καὶ μὴν χωρία τινὰ οὐ κατεγράφη, ἀλλὰ σημείωσις μόνον αὐτῶν ἐγένετο. Αἱ δὲ παραπομπαὶ πανταχοῦ καὶ πάντοτε κατὰ σελίδας γεγόνασι, καὶ τοῦτο ὁ ἐν παρενθέσει δηλοῖ ἀριθμός, ἐκτὸς τῶν Σαπφοῦς Ἀποσπασμάτων ἐν τῇ ὑπὸ Bergk ἐκδόσει, παρ’ ἀρχαίοις μὲν συγγραφεῦσι τὰς συνήθεις τῶν ἀρχῆθεν ἐκδόσεων (pagina), παρὰ νεωτέροις δὲ τὰς ἐν ἑκάστῳ συγγράμματι ἀπαντώσας, ἡ δὲ Λατινιστὶ ἀρίθμησις I, II, V, κ. τ. ἑ. τόμον ἢ βιβλίον δηλοῖ, ἢ καὶ παράγραφον παρ’ ἀρχαίῳ συγγραφεῖ.

ΣΑΠΦΩ Η ΜΥΤΙΛΗΝΑΙΑ.

Ο ΤΙ ΑΛΗΘΕΣ ΠΕΡΙ ΣΑΠΦΟΥΣ.

Μία καὶ μόνη ἐγένετο Σαπφώ, ἡ περίδοξος καὶ ἀρχαίοις τε καὶ νεωτέροις πολυθρύλητος ποιήτρια, ᾗπερ ὅ τε πρὸς Φάωνα ἔρως καὶ τὸ ἀπὸ τοῦ Λευκάτου ἅλμα ἀποδοτέα, καὶ αὕτη ἐκ Μυτιλήνης· ἡ δὲ παραλλήλως ταύτῃ πολλαχῶς ἔν τε τῇ τῶν Γραμμάτων ἱστορίᾳ καὶ τῇ νεωτέρᾳ Κριτικῇ φερομένη ὁμώνυμος ἐξ Ἐρέσου ἑταίρα εὕρημά ἐστι τῶν μετ᾽ Ἀλέξανδρον περὶ τὰ ἀρχαῖα σπουδαζόντων Γραμματικῶν τε καὶ τῶν τοιούτων, ὅπως τὴν πρώτην τῶν διαβολῶν σώσωσιν, ἃς ἡ Ἀττικὴ διέβαλεν αὐτὴν Κωμῳδία. Τεκμηρίοις δ᾽ ἄν τις χρήσαιτο τοῖς ἑξῆς τούτοις· οἵ τε γὰρ ἐκ τῶν Κλασικῶν λεγομένων συγγραφέων μνείαν αὐτῆς ποιούμενοι, οἵ τε πλείους τῶν ἐν τῷ μετέπειτα χρόνῳ περὶ αὐτῆς εἰπόντων, μίαν μὲν γνωρίζουσι Σαπφώ, ταύτην δὲ ἢ λέγουσιν ἢ Μυτιληναίαν οὖσαν ὑποδεικνύασιν. Ἡρόδοτος μὲν γὰρ ἐν δευτέρᾳ (135) Χάραξον τὸν Σκαμανδρωνύμου υἱόν, Σαπφοῦς δ᾽ ἀδελφόν, Μυτιληναῖον καλεῖ· ὁ δὲ Πλάτωνος σχολιαστὴς ἐν Φαίδρῳ (312) ταῦτα λέγει· „Σαπφὼ λυρικὴ ποιήτρια, Σκαμανδρωνύμου Μυτιληναία“. Στράβων δὲ ὁ γεωγράφος περὶ Μυτιλήνης μὲν αὐτῷ ὄντος τοῦ λόγου ἐν δεκάτῳ τρίτῳ (617) ταῦτα λέγει· „ἄνδρας δὲ ἔσχεν ἐνδόξους τὸ παλαιὸν μὲν Πιττακὸν καὶ τὸν ποιητὴν Ἀλκαῖον καὶ Ἀντιμενίδαν . . ., συνήκμασε δὲ τούτοις καὶ Σαπφώ“· δῆλα δή, ὅτι ἐκ Μυτιλήνης οὖσα· περὶ ταύτης γὰρ τῆς πόλεως ἡ ὅλη παράγραφος, ὅπερ καὶ ἐκ τῶν κατωτέρω δῆλον· „ἐτυραννήθη δὲ ἡ πόλις, κ. τ. ἑ.“, τὴν δὲ τοῦ λόγου σύνταξιν μεταβάλλει, ὅτι οὐχ οἷόν τ᾽ ἦν αὐτῷ ἁπλῶς τοὔνομα, καὶ Σαπφώ, παραθεῖναι· οὐ γὰρ ἀνὴρ αὕτη· ἐν δὲ δε-

κάτῳ ἑβδόμῳ (808) ἀδελφὴν αὐτὴν καλεῖ Χαράξου, Μυτιληναίου τούτου. Δοκεῖ δ' ἡμῖν καὶ Ἀριστοτέλης ὁ φιλόσοφος πάντως ταύτην ἀποδιδόναι Σαπφοῖ τὴν πόλιν ἐν τῇ ἑαυτοῦ Ῥητορικῇ, οὕτω λέγων (II, 23)· „Μυτιληναῖοι ἐτίμησαν Σαπφὼ καίπερ γυναῖκα“· εἰ γὰρ μὴ πολῖτις ἡ ποιήτρια ἦν, προσέθετ' ἂν τοῦθ', ὅπερ καὶ περὶ Ὁμήρου ἀνωτέρω ποιεῖ, „καὶ Χῖοι Ὅμηρον, λέγων, οὐ πολίτην ὄντα“. Ἐκ Μιτιλήνης λέγουσιν αὐτὴν Πολυδεύκης τε ἐν ἐννάτῳ (6, 84), Ἀριστείδης τε ἐν δωδεκάτῳ (85, 15, ἤτοι 1, 152) καὶ ἄμφω τῷ Ἀνθολογία (Palat. 7, 17, ἤτοι 1, 130 καὶ Graec. IV, 40, ἤτοι IV, 310) καὶ Μόσχ. ἐν τρίτῳ (92) καὶ εἴτις ἄλλος.

Ἀθήναιος δὲ τὴν ἡμετέραν, τὴν ποιήτριαν ἐκ Μυτιλήνης ὡσαύτως λέγων, πρῶτος εἰσάγει καὶ ἑτέραν ἐξ Ἐρέσου, παρὰ Νύμφιδος παραλαβών, ἧπερ καὶ τὸν καλὸν ἀποδίδωσι Φάωνα, ταῦτα ἐν δεκάτῳ τρίτῳ (596). Ἀκολουθοῦσι τούτῳ Αἰλιανὸς μὲν ἐν Ποικίλῃ Ἱστορίᾳ (X, 19), Φώτιος δὲ ἐν λέξεσι, Λευκάτης καὶ Φάων, καὶ Ἀποστόλιος (Proverb. 20, 15), καὶ δὴ Λεσβίαν οὗτοι τὴν παρείσακτον ταύτην ἁπλῶς καλοῦντες. Καὶ οὗτοι μὲν προφανῶς ἐν τῇ δευτέρᾳ ταύτῃ Σαπφοῖ τὴν ποιήτριαν ἀπαλλάξαι πειρῶνται τῶν διαβολῶν, ἃς ἡ Ἀττικη κατεῖπεν αὐτῆς Κωμῳδία, καὶ δὴ τῶν πολλῶν κατακωμῳδηθέντων αὐτῆς ἐραστῶν· δῆλός γε μὴν Ἀθήναιος προθυμίᾳ πάσῃ τοῦτο ποιῶν περί τε Ἀνακρέοντος καὶ Ἀρχιλόχου καὶ Ἱππώνακτος ἐν δεκάτῳ τρίτῳ (599), ἔνθα τοὺς Ἑρμησιάνακτος ἀναγράφων στίχους· „καὶ γὰρ τὴν ὁ μελιχρὸς ἐφωμίλησ' Ἀνακρείων . . . κ. τ. ἑ.“, σφάλλεσθαι λέγει τοῦτον περὶ τοὺς χρόνους, καὶ παίζειν δ' ἡγεῖται αὐτὸν περὶ τοῦ ἔρωτος τούτου, ὡς καὶ Δίφιλος ὁ κωμῳδοποιὸς ἐν Σαπφοῖ δράματι, Ἐραστὰς Ἀρχίλοχον καὶ Ἱππώνακτα πεποιηκώς. Ἀλλ' ἐπιφαίνεται ἡμῖν αἴφνης Σουΐδας ὁ λεξικογράφος ἐν λέξει, Σαπφώ, πρῶτος αὐτὸς τὴν μὲν περίδοξον ποιήτριαν ἐξ Ἐρέσου λέγων, ψάλτριαν δέ τινα ἐκ Μυτιλήνης εἰσάγων τὴν τοῦ καλοῦ ἐρασθεῖσαν Φάωνος, λέγων δέ· „τινὲς δὲ καὶ ταύτης εἶναι ἀνέγραψαν λυρικὴν ποίησιν“, δῆλος μέν ἐστιν οὐ πιστεύων τούτῳ, ὑποδεικνύει μέντοι τὴν ἔν τε τῇ ἑαυτοῦ κεφαλῇ καὶ τοῖς χρόνοις ἐκείνοις σύγχυσιν τῶν περὶ Σαπφοῖς εἰδήσεων, εἰς ἣν ταύτην καὶ Εὐδοκία ἐμπίπτει ἐν λέξει, Σαπφώ, καὶ Διοσκορίδης ἐν

Ἀνθολογίᾳ (Palat. XII, 407), καὶ εἴτις ἄλλος. Ὅτι μὲν οὖν ἥ τε ὑπὸ Νύμφιδος πρώτου εἰσαγομένη δευτέρα Σαπφώ, ἥ τε Σουΐδα σύγχυσις τὰς πηγάς ἐκ τῶν μετ' Ἀλέξανδρον ἔχουσι χρόνων, παντί γε δῆλον· γνωστὸς γοῦν Σουΐδας ἐξ Ἀλεξανδρινῶν πινακογράφων τὸ πλεῖστον ἀντλῶν, ὥς περ Schöne ἐν ταῖς περὶ τοῦ βίου Σαπφοῦς ἐρεύναις αὐτοῦ ὀρθῶς λέγει (741), γνωστὰ δ' αὐτοῦ ἥ τε προθυμία καὶ τὸ εὔπιστον, μεθ' ὧν πολλὰ μὲν καὶ διαφέροντα τοῦ αὐτοῦ ἀνδρὸς ἀναγράφει ὀνόματα, πολλὰς δὲ καὶ ἐναντίας πολλάκις ἀλλήλαις περὶ τοῦ αὐτοῦ πράγματος εἰδήσεις, ὧν ἴδοι τις ἂν παρά τε Schöne (ἀνωτέρω) καὶ παρὰ Welcker (II, 133) οὐκ ὀλίγας τὰς παραβολάς· ὅρα καὶ Richter (7 + 8). Ἀπὸ δὲ τῆς πέμπτης καὶ δεκάτης ἑκατονταετηρίδος ἤγαγον αὖθις ἐπὶ τὸ αὐτὸ τὰς Σαπφοὺς ἀμφοτέρας, καὶ τῇ μιᾷ ταύτῃ τῇ ἐκ τούτων πάντ' ἀποδεδώκασιν ἀγαθά τε κακά τε.

Τῶν νεωτέρων Κριτικῶν ἔνιοι μέν, καὶ οὗτοι πάνυ ὀλίγοι, τῶν χωριζόντων εἰσίν, οἷοί περ Bayle καὶ Visconti καὶ Verio καὶ Allier de Hauteroche ὁ Γαλάτης, ὁ περὶ Ἐρεσίου νομίσματος γράψας τὰ ὑπὸ Welcker ἀνασκευαζόμενα ἐκεῖνα, περὶ ὧν ὅρα Welcker (II, 130). Οἱ πλεῖστοι μέντοι καὶ προέχοντες τούτων μίαν μὲν εἶναι λέγουσι Σαπφώ, ἵνα δὲ τὰς διαφόρους περὶ αὐτῆς εἰδήσεις εὖ τε καὶ φιλίως ἀλλήλαις διαθῶσιν, ἐν Ἐρέσῳ μὲν γεννηθεῖσαν, εἰς Μυτιλήνην δ' ἐπιδημήσασαν, κἀκεῖ γνώριμόν τε γενομένην, καὶ δόξης οὐ σμικρᾶς ἐπὶ τῇ τέχνῃ καὶ τοῖς ἔργοις μετασχοῦσαν, οὕτως ἀναγράφουσιν. Οὕτω Welcker ἔν τε δευτέρῳ (134), ἔν τε τετάρτῳ (85), εἰ καὶ πολλούς τινας καὶ ἀμφιβόλους εἰσάγει τοὺς τῆς ἐπιδημίας λόγους, γάμους τε λέγων καὶ τὴν αὐτῆς τέχνην καὶ τὴν τῆς Σχολῆς σύστασιν. Οὕτω Köchly ἐν Ἀκαδημαϊκοῖς (181), Kock ἐν Σαπφοῖ (23), Plehn ἐν Λεσβιακοῖς (177), Teufel ἐν Pauly's λεξικῷ (Σαπφώ), Arnold ἐν Σαπφοῖ (6), Sittl ἐν τῇ τῶν Ἑλληνικῶν Γραμμάτων ἱστορίᾳ καὶ Flach ἐν τῇ τῶν Ἑλλήν. λυρικῶν ἱστορίᾳ (II, 485), καί περ μόνον Σουΐδαν οὗτος παράγων μαρτυροῦντα, λόγον δὲ οἰόμενος δίκαιον λέγειν τούτου, ὡς δὴ πολλοὺς ἡ Ἔρεσος ἐπὶ Γράμμασι περιφανεῖς ἐγέννησεν ἄνδρας, ὡσεὶ μήτις ἐκ Μυτιλήνης πολλῷ πλείονας ἐπιδεῖξαι εἶχε τοιούτους. Τινὲς δὲ καὶ λόγους εἰσάγουσι τῆς ἐκ

Μυτιλήνης ταύτης ἐπικλήσεως, Schöne μὲν (741) τὴν ὁσημέραι ἐπιδιδοῦσαν τῶν Μυτιληναίων δύναμιν, Neue δὲ (4) τὸ τὴν Ἔρεσον ὑποτελῆ σύμμαχον ἐκείνης εἶναι. Καὶ μὴν ἡμεῖς θαυμάσια ἐπάσχομεν ἀναγινώσκοντες ταῦτα· οὐκ ὀλίγοι γὰρ τῶν ἀνωτέρω πλείονας τὰς ἐκ τῶν ἀρχαίων μαρτυρίας ὑπὲρ τῆς πρωτευούσης πόλεως φέρουσι, καὶ δὴ Neue (3) ὀκτὼ μὲν καὶ ἐπισημοτέρων τὰς περὶ ταύτης, πέντε δὲ καὶ ἀσημοτέρων τὰς περὶ Ἐρέσου. Bernardy δὲ κυμαινόμενος τὸ κατ' ἀρχὰς Μυτιλήνης μεταξὺ καὶ Ἐρέσου ἐν τῇ τῶν Ἑλλην. Γραμμάτων ἱστορίᾳ (II, 670), εἰς τὰ πρόσω προβαίνων τοῦ λόγου τῶν τὰ πρῶτα φερόντων ἐν τῇ πρωτευούσῃ τῆς Λέσβου πόλει τὸν οἶκον λέγει τὸν Σαπφοῦς, ἐκ τοῦ ἀδελφοῦ Λαρίχου οἰνοχοοῦντος ἐν τοῖς τῶν ὀλιγαρχικῶν θιάσοις τοῦτο μαρτυρόμενος· σημεῖα ταῦτα, ὅτι Σαπφὼ ἐκ Μυτιλήνης ἦν, ὡς ἡμῖν κατωτέρω δεδείξεται· καὶ Richter δὲ (6) πρὸς Μυτιλήνην ῥέπει μᾶλλον. Εἰσὶ δ' οἵτινες καὶ λέγουσιν αὐτὴν γεννηθεῖσαν μὲν ἐν Μυτιλήνῃ καὶ ἀκμάσασαν, μικρὸν δὲ καὶ ἐν Ἐρέσῳ τὰς διατριβὰς ποιησαμένην, οἷοι Volger τε καὶ Möbius ἐν ταῖς ἑαυτῶν διατριβαῖς περὶ Σαπφοῦς, ἄμφω πλὴν σφαλλόμενοι ἐν τοῖς χρόνοις· οὗτος μὲν γὰρ πρὸ τῆς εἰς Σικελίαν φυγῆς, ἐκεῖνος δὲ διὰ τὴν τοῦ ἀνδρὸς ἐμπορίαν τὰς ἐκεῖ διατριβὰς λέγει γενομένας, οὐκ ὀρθῶς· ὁ μὲν γὰρ Σαπφοῦς ἀνὴρ πάλαι ἤδη ἐτεθνήκει, τὸ δὲ Πάριον μάρμαρον διαῤῥήδην λέγει· „ἔφυγεν ἐκ Μυτιλήνης“· ὅρα Möbius ἐν ᾠδαῖς Σαπφοῦς (5 + 6).

Ἡμεῖς μέντοι πᾶσαν ἄλλην χαίρειν ἐῶντες γνώμην, ἐπὶ τὰ πρῶτα ἐπάνιμεν, μίαν μὲν καὶ μόνην γενέσθαι λέγοντες Σαπφώ, ἀλλὰ ταύτην ὅμως ἐν Μυτιλήνῃ γεννηθῆναί τε καὶ παιδευθῆναι, καὶ ἐπί τε τῇ τέχνῃ καὶ τῇ σοφίᾳ θαυμαστὴν γενομένην, ἐς ἀκμὴν δόξης μεγάλης προελθεῖν· οὐκ ἀπίθανόν γε μὴν καὶ μικρόν τινα αὐτὴν ἐν Ἐρέσῳ διαγαγεῖν χρόνον μετὰ τὴν ἐκ Σικελίας ἐπάνοδον, ἢ καὶ Σχολήν τινα ἐκεῖ ἱδρῦσαι, ἤ ἄλλῳ τῳ ἔργῳ τὴν ἐκ τῶν πολιτῶν εὔνοιαν ἑαυτῇ περιποιήσασθαι. Καὶ τεκμηρίῳ μὲν ἐχρησάμεθα πρώτῳ τῇ ἐκ τῶν πλειόνων ἀρχαίων συμφώνῳ μαρτυρίᾳ, δεύτερον δὲ τοδὶ ἐπάγομεν. Ὁ Σαπφοῦς οἶκος ἐκ πρώτης ἀρχῆς, ἴσος πάντῃ τοῖς τῶν ἄλλων ὀλιγαρχικῶν, τιμῆς φαίνεται παρὰ Μυτιληναίοις πολλῆς ἀπολαύων, ἡ δὲ ποιήτρια τὴν αὐτὴν μὲν ἐκ

παίδων τοῖς ἐπιφανεστάτοις τῶν οἴκων λαμβάνουσα ἀγωγήν, μέτοχος δὲ περιφανὴς τῶν ὀλιγαρχικῶν ἐν Μυτιλήνῃ θιάσων τῶν γυναικῶν, ὧν αὐτὴ ἐν τοῖς μετέπειτα χρόνοις ἡ κυρία καθίσταται, καὶ ἄχρις ἡμῶν δὲ λέγεται ἀντιπρόσωπος. Περί τε τῶν θιάσων τούτων καὶ ἰδίᾳ, ὅτι ἐκ τοῦ περὶ Σαπφὼ συγκεκροτημένου κυρίως γνωρίζομεν αὐτούς, ὅρα Bernardy μὲν ἐν πρώτῳ (132) καὶ δευτέρῳ (618), Köchly δὲ ἐν τοῖς Ἀκαδήμαϊκοῖς (176) καὶ ἄλλους ἄλλοθι. Σχολὴν δὲ ἱδρύσασα τὰς τῶν τὰ πρώτιστα φερόντων οἴκων προσάγεται κόρας, καὶ ἐν γένει εἰπεῖν τοσοῦτον οἰκεία τοῖς τε ἤθεσι καὶ ταῖς παραδόσεσι τῆς ἀρχούσης δείκνυται μερίδος, πρός τε τὰ νενομισμένα τῇ πάσῃ πόλει, ἐν μὲν ἀγῶσι καὶ δημοσίαις ἑορταῖς λαμπροὺς παρθένων ἱστᾶσα χορούς, ὕμνοις δὲ καὶ ᾠδαῖς τιμᾶν τοὺς θεοὺς διδάσκουσα, τοῖς τε ἰδιώταις ἐπιφανὴς ἐπίκουρος οὖσα, διά τε ὑμεναίων καὶ ἐπιθαλαμίων καὶ τῶν τοιούτων· ὅρα καὶ Ἀθήναιον (XIII, 598), καὶ δὴ τὸ ἀνώνυμον ἐπίγραμμα, περὶ οὗ ὅρα καὶ Plehn Λεσβιακά (118),

„Ἔλθετε πρὸς τέμενος γλαυκώπιδος ἀγλαὸν Ἥρης
  Λεσβίδες ἁβρὰ ποδῶν βῆμαθ᾽ ἑλισσόμεναι,
ἔνθα καλὸν στήσασθε θεῇ χορόν· ὕμμι δ᾽ ἀπάρξει
  Σαπφὼ χρυσείην χερσὶν ἔχουσα λύρην.
Ὄλβιαι ὀρχηθμοῦ πολυγηθέος· ἦ γλυκὺν ὕμνον
  εἰσαΐειν αὐτῆς δόξετε Καλλιόπης.“

Τὸ δ᾽ ἕτερον, ὅτι καὶ τῶν στάσεων τῶν κατὰ τὴν πόλιν, γυνὴ αὕτη, οὐχ ἡ τυχοῦσα φαίνεται κοινωνός, εἴγε καὶ διὰ τὴν αἰτίαν ταύτην εἰς Σικελίαν λέγεται φυγοῦσα. Καὶ περὶ μὲν τούτων, ἅπερ οἵ τε νεώτεροι Κριτικοὶ καὶ τὰ σωζόμενα πιστοῦσιν ἀποσπάσματα, κατωτέρω ἡμῖν ἔσται ὁ λόγος. Ἀλλὰ τῆς τε ἀνωτέρας καὶ πεφροντισμένης ἀγωγῆς, τοῦ τε βίου ἐκείνου τῶν εὐπατριδῶν, ἀλλὰ τῶν θιάσων ἐκείνων πολλῷ μᾶλλον πῶς ἂν εἴη μέτοχος κόρη ξένη καὶ ἄρτι ἐπιδημοῦσα; ὧν περ πάνυ αὐστηρῶς ἀπεκλείετο πᾶς μὴ ὁμότιμος, πολλῷ γε δὴ πλέον μὴ πολίτης· ὅρα περὶ τούτου ἐν πρώτῳ κεφαλαίῳ καὶ Bernardy (I, 131 + 2). Πῶς δ᾽ ἂν εὐχερῶς ἐν τοῖς πολίταις καταλέγοιτο θυγάτηρ ἄρτι μὲν ἐπιδημοῦντος οἴκου, ὀρφανὴ δὲ πατρὸς τὸ παράπαν, ὥς ἐστιν ἰδεῖν παρ᾽ Ὀβιδίῳ ἐν δεκάτῃ πέμπτῃ Ἡρωΐδι (61), ἀπὸ τοῦ ἕκτου ἤδη τῆς ἡλικίας ἔτους; φησὶ γὰρ οὗτος,

„Sex mihi natales ierant, cum lecta parentis
ante diem lacrymas ossa bibere meas.

Τρίτῳ δὲ χρήσαιτ' ἄν τις τεκμηρίῳ τῷ ἑξῆς τούτῳ. Νεαρὸς ἔτι τὴν ἡλικίαν ὁ Σαπφοῦς ἀδελφὸς οἰνοχοῶν φαίνεται ἐν τῷ πρυτανείῳ τοῖς Μυτιληναίοις, ἐντιμοτάτην ταύτην τὴν λειτουργίαν ἀναλαβών, καὶ ἥνπερ οἱ εὐγενέστατοι ἐξετέλουν τῶν παίδων ἐξ οἴκων ἐπιφανῶν, πολιτικῶν μέντοι καὶ οὐ ξένων. Μαρτυρεῖ ἡμῖν περὶ τούτου Ἀθήναιος ἐν δεκάτῃ (424), ἐν οἷς φησι· „Σαπφὼ ἡ καλὴ πολλαχοῦ Λάριχον τὸν ἀδελφὸν ἐπαινεῖ, ὡς οἰνοχοοῦντα ἐν τῷ πρυτανείῳ τοῖς Μυτιληναίοις", λέγων δὲ εὐγενεστάτην τὴν πρᾶξιν, ἐπάγει· „καὶ παρὰ Ῥωμαίοις δὲ οἱ εὐγενέστατοι τῶν παίδων τὴν λειτουργίαν ταύτην ἐκτελοῦσι κατὰ τοὺς Αἰολεῖς". Εὐστάθιος δὲ ἐν τοῖς σχολίοις εἰς Ἰλιάδα Ὁμήρου (Υ, 234)· „ἔθος, λέγει, ἦν, ὡς καὶ Σαπφώ φησιν, εὐγενεῖς εὐπρεπεῖς οἰνοχοεῖν", δῆλα δή, ὅτι ἐξ εὐγενῶν καὶ πολιτικῶν οἴκων. Τῶν δὲ νεωτέρων Flach μὲν (II, 486) δικαίως φησὶ κρίνεσθαι τὴν Σαπφὼ ἐξ εὐγενοῦς καὶ τῶν ἀρίστων εἶναι οἴκου ἐκ τούτου, ὅτι Λάριχος ὁ ἀδελφὸς οἰνοχόος ἦν τοῖς Μυτιληναίοις, Schöne δὲ (742) περὶ τοῦ Σαπφοῦς γένους ταὐτὰ σχεδόν τι λέγων τῷ Flach, ἀποσπάσματα οὐκ ὀλίγα ἐκ τῶν Σαπφοῦς Λαρίχῳ ἀποδοῦναι πειρᾶται (20; 21; 50; 89, 101 καὶ δὴ τὸ 29, Στᾶθι κἄντα φίλος . . .), ἀλλ' οὐκ ὀρθῶς πάντα, ὡς ἡμῖν κατωτέρω δεδείξεται. Τέταρτον δὲ τόδ' ἐπάγοιτ' ἄν τις τεκμήριον· οἱ γὰρ ἐν Ἀθήναις Κωμικοὶ Μυτιληναίους βουλόμενοι ἐν ψόγῳ θέσθαι καὶ κακὰ πόλλ' εἰπεῖν, διά τε ἄλλα καὶ τὸ μῖσος τὸ τῆς πόλεως πρὸς ἐκείνους ἀπὸ τῶν συμμάχων ἀποστατήσαντας, οὐκ Ἐρεσίους ἐπὶ τὴν σκηνὴν παράγειν ὤφειλον, πρὸς οὓς ἐκεῖνοι εὖ τε καὶ φιλίως διετέθειντο, ἀλλὰ Μυτιληναίους· ὅρα περὶ τούτων Θουκυδίδου βιβλ. Γ'., ἐξ οὗ τούτου τεκμήραιτ' ἄν τις καὶ τὴν Σουΐδα πλάνην, ὅς ψάλτριαν λέγει καὶ οὐ ποιήτριαν τὴν ἐκ Μυτιλήνης Σαπφώ, καίπερ γνωστοῦ ἅπασιν ἡμῖν ὑπάρχοντος, ὅτι τὸ τῆς ποιήσεως τῆς Σαπφοῦς πυρῶδες πολλὴν ἀφορμὴν τοῖς Κωμικοῖς παρέσχε πρὸς τὰς διαβολάς, τὴν ποιήτριαν βουλομένοις οὐ ψάλτριάν τινα λοιδορεῖν. Ἐξέστω δ' ἡμῖν τελευταίαν ἐπάγειν ἤδη μαρτυρίαν τὰς πολλάς, ἐν αἷς Σαπφὼ παρὰ Μυτιληναίοις ζῶσά τε καὶ θανοῦσα ἦν τιμάς, ὧν γε οὐκ ἂν ἠξιοῦτο τοσούτων, εἴπερ

Ἐρεσία ἦν. Ὅ,τι δὲ πρὸς τὰ νομίσματα ἀφορᾷ, τὰ τὴν Σαπφοῦς εἰκόνα ἐκτετυπωμένα, περὶ ὧν διδάσκει ἡμᾶς καὶ Πολυδεύκης ἐν Ὀνομαστικῷ (IX, 6, 84), ἓν μὲν ὅσον ἡμεῖς ἴσμεν Ἐρέσου, πολλὰ δὲ Μυτιλήνης φέρεται· ἀλλὰ καὶ Ἀντισσαίων ἕν, περὶ ὧν ὅρα Plehn (Λεσβ., 191 κ. ἑ.), οὐδ' ἄτοπον λογιζοίμεθ' ἂν Ἐρεσίους τὴν ποιήτριαν τιμᾶν, καὶ νόμισμα ἐπὶ τούτῳ χαράττειν, ἤτοι κοινὸν αὐτὴν ἡγουμένους τῆς πάσης Λέσβου ἀγλάϊσμα, ἢ καὶ εὐεργετηθέντας ὑπ' αὐτῆς, ὡς εἰπόντες ἔφθημεν. Πολλῷ γοῦν ἀτοπώτερον, εἰ τὴν ἑταίραν Σαπφὼ ἡ πόλις νομίσματι ἐτετιμήκει, οἵανπερ τὴν Ἐρεσίαν πολλοὶ τῶν τε πάλαι καὶ τῶν νεωτέρων ἐκλαμβάνουσι, καίπερ ῥητῶς Διοσκορίδου λέγοντος ἐν ἐπιγράμματι (Ἀνθολογ. Παλατ. I, 426) „τὴν Ἐρέσῳ Μοῦσαν“· οὐδεμία μέντοι τῶν Ἑλληνίδων ἑταιρῶν Μοῦσα γνωρίζεται, οὐδ' αὐτὴν Ἀσπασίαν ἐξαιροῦμεν λόγου· ὅρα καὶ Welcker (II, 130+1).

Ποία δέ τις Σαπφὼ τὸ εἶδος; Περὶ τούτου ἐξέστω ἡμῖν ἤδη διὰ βραχέων λέγειν. Ἐνίοις μὲν τῶν νεωτέρων τὰ τοῦ Μαξίμου Τυρίου ἐν τετάρτῃ καὶ εἰκοστῇ Διατριβῇ (472)· „μικρὰ καὶ μέλαινα“, οἷς περ καὶ Ὀβίδιος συμφωνεῖ ἐν δεκάτῃ πέμπτῃ Ἡρωΐδι (33) τάδε λέγων·

„Sum brevis, at nomen, quod terras impleat omnes,
est mihi· mensuram nominis ipsa fero.
Candida si non sum, placuit Cepheia Perseo . . ,

εἰς μαρτυρίαν συμβάλλεται, ὅτι οὐ καλή τις ἦν ἡ ποιήτρια τὸ εἶδος, οἷος Bernardy τε (II, 677) καὶ ἄλλοι· ἕτεροι μέντοι αὐτῶν, καὶ οὗτοι οἱ πλείους, ἐν οἷς Welcker (II, 109), Flach (II, 505), Richter (22) καὶ λοιποὶ τἀναντία ὅλως ἡγοῦνται, οἱ μὲν δύω πρῶτοι τὸ τοῦ Πλάτωνος, Πλουτάρχου, Ἀθηναίου καὶ ἄλλων, Σαπφὼ ἡ καλή, εἰς τὸ τοῦ σώματος ἀναφέροντες κάλλος, τὸ δέ, μικρά καὶ μέλαινα ἐκεῖνο ἅπαντες τῶν ἐν Ἀθήναις λέγοντες διακωμῴδημα, ὅθεν δὴ Μάξιμος καὶ Ὀβίδιος αὐτὸ εἰλήφασιν. Ἀλλ' ἡμῖν δοκεῖ τὸ, καλή, τοῦτο πρὸς τὴν τῆς ποιήσεως τέχνην καὶ τὰς χάριτας σκοπεῖν, καθὰ καὶ Μάξιμος ῥητῶς μαρτυρεῖ, ἑτέροις τε τῶν ἀρχαίων διδόμενον ποιηταῖς, ὡς Ὁμήρῳ καὶ Ἀνακρέοντι καὶ λοιποῖς· Σαπφὼ δὲ μετρίου τινός γεγονέναι κάλλους οὐδὲν κωλύει ταῦτα τά, μικρὰ καὶ μέλαινα, εἴγε ἡμῖν ἔξεστι τὸ μέν εἰς λεπτήν τινα καὶ οὐ με-

γάλην οὐδ' εὔρωστον τοῦ σώματος φυὴν ἀναφέρειν, τὸ δ' εἰς ὑπομέλαινάν τινα καὶ οὐ πάνυ λευκὴν αὐτοῦ χροιάν, ὅπερ καὶ τὴν μελαγχολικὴν αὐτῆς ἐδύνατό πως δηλοῦν φύσιν, οἷόν τι περὶ τῆς ποιήσεως αὐτῆς μαρτυρεῖται, καὶ Flach δὲ (ἀνωτέρω) λέγει. Ἀλλὰ μὴν καὶ Λάριχος ὁ ἀδελφὸς ἐν τῷ πρυτανείῳ οἰνοχοῶν μαρτυρεῖ πως τὸ τῶν γένει προσηκόντων οὐ δυσειδές· εὐπρεπεῖς γὰρ ἐκεῖ εὐγενεῖς, ὡς εἴδομεν, ἐῳνοχόουν. Μαρτυροῦσι μέντοι καὶ τὰ αὐτῆς ὁμοιώματα ἔν τε γραφαῖς καὶ ἐν ξοάνοις, καὶ ὑπὸ ἀρχαίων, περὶ ὧν ὅρα ἐν ἐπιλόγῳ, καὶ δὴ τὸ ὑπὸ Κικέρωνος θαυμαζόμενον (Verres, 4, 57), ἔνθα Σαπφὼ ὡσεὶ Ἑστιάδος τινὸς λέγεται τὸ ἐπὶ τῆς ὄψεως σεμνὸν καὶ ἱεροπρεπὲς ἔχειν, καὶ ὑπὸ νεωτέρων δέ, ὡς ἔστιν ὁρᾶν ἐν Βατικανῷ τὴν ὑπὸ Ραφαὴλ τοῦ Ἰταλοῦ θαυμασίαν γραφήν, πάντως ἐξ ἀρχαίων εἰλημμένην πρωτοτύπων, περὶ ἧς ὑπὸ Schrott ἱκανὰ ἐν τῇ Γενικῇ τοῦ Μονάχου ἐφημερίδι (1884)· λέγει δὲ πολλὰ περὶ τοῦ κάλλους αὐτῆς καὶ τὸ Δημοχάρους ἐπίγραμμα (Anth. Graeca IV, 40), περὶ οὗ ὅρα καὶ Plehn (190)·

„Αὐτή σοι πλάστειρα Φύσις παρέδωκε τυπῶσαι
  τὴν Μυτιληναίαν, ζωγράφε, Πιερίδα.
Πηγάζει τὸ διαυγὲς ἐν ὄμμασι· τοῦτο δ' ἐναργῶς
  δηλοῖ φαντασίην ἔμπλεον εὐστοχίης.
Αὐτομάτως δ' ὁμαλή τε καὶ οὐ περίεργα λιπῶσα
  σάρξ ὑποδεικνυμένην τὴν ἀφέλειαν ἔχει.
Ἄμμιγα δ' ἐξ ἱλαροῖο καὶ ἐκ νοτεροῖο προσώπου
  Μοῦσαν ἐπαγγέλλει Κύπριδι μιγνυμένην“.

Ἀλλὰ μῶν Ἀλκαῖος αὐτός, μῶν αὐτὴ Σαπφὼ περὶ τοῦ ἑαυτῆς οὐ λαλεῖ κάλλους; ὁ μὲν γάρ· „ἰόπλοκ', ἄγνα, μελλιχόμειδε Σάπφοι“ προσαγορεύει αὐτήν, ἡ δὲ ποιήτρια θαυμάζει τε καὶ περικαλλὲς λέγει τὸ ἑαυτῆς θυγάτριον· „ἔστι μοι κάλα πάϊς . . .“ λέγουσα (85), νὴ Δία ὡσεὶ ἑαυτήν πως ἐθαύμαζε καὶ περικαλλῆ ἔλεγεν ἐκείνη. Τὸ περὶ Ἀλκαίου καὶ Flach ἀποδέχεται (II, 505), καὶ Köchly, καὶ δὴ παραβάλλων τοῦτο τοῖς τοῦ Μαξίμου Τυρίου, μικρὰ καὶ μέλαινα.

Δίκαιον ἡμᾶς Ἤρινναν ὁρῶντας ἐννεακαίδεκα μὲν ἄρτι βιοῦσαν ἔτη, τὴν δ' Ἠλακάτην ἐν ἡρωικῷ ποιοῦσαν μέτρῳ, καὶ ἐπὶ ταύτῃ διαβόητον γιγνομένην, ὡς Σουΐδας ἐν λέξει, Ἠριννά φησι, Σαπφοῦς δὲ ταύτην ὁμιλήτριαν οὖσαν, πολλῷ μᾶλλον περὶ τῆς διδασκάλου

ταὐτὰ γιγνώσκειν καὶ ἀποδέχεσθαι, ὅτι Σαπφὼ νεαρὰ ἔτι τὴν ἡλικίαν ἐπὶ μὲν τῇ τέχνῃ καὶ τῇ σοφίᾳ διεβοεῖτο, ἐν δὲ τῇ Ποιήσει καὶ τῇ Μουσικῇ ἔξοχα ποιοῦσα ἔργα, καὶ ἐν τῇ πόλει καὶ τῇ νήσῳ ἁπάσῃ, καὶ ἀνὰ τὴν πλείστην ἄλλην Ἑλλάδα τιμῆς καὶ δόξης ἀπήλαυεν οὐ τῆς τυχούσης. Ἐν νεαρᾷ δ' ὡσαύτως ἡλικίᾳ, ὥς ἐστιν ἐκ πολλῶν εἰκάσαι, διὰ τὴν τοῦ πατρὸς ὀρφανίαν πλουσίῳ τινὶ φαίνεται γεγαμημένη ἀνδρί, ἤτοι πολίτῃ αὐτῆς, ἢ ἐξ Ἄνδρου τῆς νήσου ὁρμωμένῳ, μεθ' οὗ μέντοι οὐ πολὺν διεβίω χρόνον· εὐθὺς γὰρ φαίνεται ἐκεῖνος ἀποθανών, μικρὸν θυγάτριον ἀπολιπὼν αὐτῇ, τὴν ἀγαπητὴν Κλεΐδα, ἣν περιπαθῶς ἡ ποιήτρια ᾄδει. Σφάλλεσθαι δὲ δοκεῖ ἡμῖν Neue τῇ γνώμῃ (2), τὸν μὲν γάμον οὐκ ἀληθῆ λέγων, νόθον δὲ τὸ θυγάτριον ἀποκαλῶν, λόγον οἰόμενος ἀποχρῶντα τοῦτον λέγειν, ὡς δὴ δυσχερῶς ἂν ἐπιδεδημήκοι ἐν τοῖς τότε χρόνοις ἐξ Ἄνδρου εἰς Μυτιλήνην ἀνήρ, καὶ ταῦτα πλουσιώτατος, ὡσεὶ μὴ Σουΐδας διαῤῥήδην ταῦτα ἐμαρτύρει. Ταῦτ' οὖν ἡμεῖς ἐν τοῖς πολλοῖς περὶ Σαπφοῦς ἀδίκως ῥηθεῖσι δικαίως καταλέγοντες, καὶ εἰς τὰ πρόσω προβαίνοντες τοῦ λόγου, Σαπφὼ λέγομεν, ἅμα τἀνδρὸς θανόντος, τὸν ἑαυτῆς συνειδυῖαν προορισμόν, τοῦ λαμπροῦ αὐτῆς ἄρξασθαι ἔργου, διττὰ ποιοῦσαν, περιφανῆ τε περὶ ἑαυτὴν εὐγενῶν γυναικῶν συναγείρουσαν θίασον, καὶ τὴν περιβόητον αὐτῆς τῶν παρθένων Σχολὴν ἔκ τε τῆς πόλεως καὶ τῆς ἄλλης νήσου καὶ ἐξ ἀλλοδαπῶν συνιστᾶσαν χωρῶν, συνήθη ἤδη ἄμφω ἐν Μυτιλήνῃ ὄντα, ὡς ἐν τῷ πρώτῳ εἴδομεν κεφαλαίῳ. Ὅτι πάντως εὐθύς τε συνεστάθη, καὶ ἐν τῷ μεταξὺ χρόνῳ τοῦ εἰκοστοῦ καὶ τριακοστοῦ τῆς ἡλικίας αὐτῆς ἔτους ἡ Σχολὴ αὕτη ἤκμασεν, ἤτοι πρὸ τῆς εἰς Σικελίαν φυγῆς, πολλοῖς ἡμῖν δέδοται πιστεῦσαι μαρτυρίοις. Καὶ πρῶτον μὲν τὸ Εὐσεβίου χρονικὸν ἐν ἀκμῇ δόξης ἀναγράφει τὴν ποιήτριαν οὖσαν πρὸ τῆς ἐν Μυτιλήνῃ στάσεως Ἀλκαίου τε καὶ τῶν μετ' αὐτοῦ τῷ 595 π. Χ. σχεδόν τι συμπιπτούσης, ἤτοι ἐν Ὀλ. 46, 2, περὶ οὗ ὅρα Schöne (757), ἐν τῇ Ἀρμ. μεταφράσει οὕτω λέγον· „Σαπφώ τε καὶ Ἀλκαῖος ποιηταὶ ἐγνωρίζοντο". Ἔπειτα Ὀβίδιος ὁ Ῥωμαῖος ποιητὴς ἐν δεκάτῃ πέμπτῃ Ἡρωΐδι Σαπφὼ εἰσάγων Φάωνι ἐπιστέλλουσαν ἐκ Μυτιλήνης, ἐν Σικελίᾳ τότε διατρίβοντι, καὶ τὴν ἐκεῖσε τῆς ποιητρίας φυγὴν σαφῶς προϋπαινιττόμενος, οὐ μὴν ὅτι περὶ Σχολῆς καὶ μαθητριῶν λέγει, ἀλλὰ καὶ

τὸ θυγάτριον εἰσάγει μικρὸν εἰσέτι ὄν, καὶ ἐκείνῃ παρενοχλοῦν (70).

„Accumulat curas filia parva meas.

Ἔπειτα εἴπερ εὐλόγῳ πως καὶ πιθανῷ ἔοικε τὸ διὰ τὰς πολιτικὰς ἔριδας ἐκ Μυτιλήνης Σαπφὼ φυγεῖν, οὐκ ἂν ἀλόγως εἰς τοῦτο συμβαλέσθαι λέγοιμεν καὶ τὴν αὐτῆς φήμην καὶ τὸ ἐν τῇ πόλει ἀξίωμα, τὸ δι' ἄλλα τε καὶ ἐκ τῆς Σχολῆς ἀποκεκτημένον. Ἕτερον δὲ τοῦτ' ἐπάγοιμεν ἂν τεκμήριον, ὅτι αἱ τῆς Σαπφοῦς ᾠδαὶ σχεδόν τι ἅπασαι τὸ τῆς νεότητος ἀναβράζουσι πῦρ, αἵ τε ἄλλαι καὶ αἱ πρὸς τὰς μαθητρίας, καὶ δῆλαί εἰσιν ἐν τοῖς ἔτεσιν ἐκείνοις πεποιημέναι. Διὰ ταῦτα ἐθαυμάζομεν, τίσι ποτὲ λόγοις Schöne τε ἐν ταῖς περὶ Σαπφοῦς ἐρεύναις (757) καὶ Buchholz ἐν Ἀνθολογίᾳ αὐτοῦ (II, 9) ἑαυτοὺς πείθουσιν, ὅτι Σαπφὼ πρὸ τῆς εἰς Σικελίαν φυγῆς οὐ πάνυ γνώριμος ἦν, οὔτε Σχολὴν τὸ παράπαν ἱδρύκει, μετὰ δὲ τὴν ἐκ Σικελίας ἐπάνοδον ἄμφω ἐγεγόνει· ὅπου ἡμεῖς καὶ πρὸ τῆς δευτέρας καὶ τεσσαρακοστῆς Ὀλυμπιάδος Σαπφὼ γενομένην κατωτέρω δεικνύναι πειρασόμεθα. Ἀμέλει οὖν οὕτως ἀποδεκτέα, Σαπφὼ τόν τε ἐπιφανῶν γυναικῶν θίασον τήν τε τῶν παρθένων Σχολὴν νεαρὰν ἔτι ἱδρύσασαν ἐπὶ πολὺ θεραπεύειν χρόνου, ἤδη πρὸ τῆς εἰς Σικελίαν φυγῆς.

Ἀνάγκη δ' ἡμᾶς εὐθὺς ἀρχομένους τοῦθ' ὅπερ Σουΐδας τε ἐμφανῶς ποιεῖ, φίλας ἀπὸ μαθητριῶν διορίζων, ἡμεῖς τε ἀλλαχοῦ τοῦ λόγου ἔφημεν, ῥητὴν καὶ ἀπότομον τὴν διάκρισιν ποιεῖν Θιάσου καὶ Σχολῆς, ὡς δυοῖν τούτοιν λίαν ἀλλήλοιν ἀλλοτρίοιν ὄντοιν· οὕτω δὲ καὶ πολλὰ ἐν τοῖς περὶ Σαπφοῦς ζητήμασι λύεται ἀπορήματα. Ἀλλὰ καὶ τῶν νεωτέρων Κριτικῶν οὐκ ὀλίγοι λανθάνουσιν ἑαυτοὺς τοῦτ' αὐτὸ ποιοῦντες· δύω γὰρ καὶ οὗτοι ἡλικίας ἐν τοῖς περὶ τὴν ποιήτριαν κύκλοις χωρίζουσι, καὶ ταῦτα ἑτέρῳ τὴν ἑτέραν ἐπιτηδεύματι, φίλας ἀπὸ μαθητριῶν διορίζοντες. Οὕτω Flach (II, 513) καὶ Neue (7) καὶ ἕτεροι. Ὅρα δὲ τὸ τοῦ πρώτου ἐπιλῆσμον· ἐν γὰρ δευτέρῳ (498) θαυμάζει Σουΐδα, εἰ δικαίως χωρίζει, αὐτὸς χωρίζων. Καὶ κατηρτίσθη μὲν ὁ θίασος συγγιγνομένων εἰς ταὐτὸ περὶ τὴν θαυμαζομένην ποιήτριαν ἐπιφανῶν καὶ ἐλευθερίως τεθραμμένων γυναικῶν, ἡλίκων ἐκείνῃ τὰ πολλά, ἐν πάσῃ ἀστικῇ καὶ ἠθοποιῷ παιδεύσει πρὸς ἡδονήν τε ἅμα καὶ χάριν ἐλευθέριον

σπουδαζομένη τὰς διατριβὰς ποιουμένων· τὴν δὲ Σχολήν, σεμνότερον καὶ αὐστηρότερόν πως χαρακτῆρα φέρουσαν, δικαίως ἄν τις ταῖς νῦν ἀνωτέραις τῶν παρθένων Σχολαῖς προσεικάσειεν, ὅσονπερ καὶ οἷον οἱ τότε χρόνοι καὶ τὰ τότε διδόασιν ἤθη, ἔνθα πρόσηβοί τε καὶ ἐν τῇ πρὸ τοῦ γάμου ἡλικίᾳ κόραι λόγοις τε καλοῖς καὶ μαθήμασι καὶ οἰκιακοῖς ἄλλοις ἔργοις ἐπαιδεύοντο. Κἀκεῖ μὲν Αἰολική πως καὶ ἀνειμένη ἡ διατριβή, ἡδυπάθεια δέ τις οὐκ ἀήθης, φαιδραί τε διαχύσεις καὶ γέλωτες, καὶ πυρώδεις ἐρώτων ἐκδηλώσεις, καὶ πολλὴ ἡ τῆς τοῦ Διὸς Ἀφροδίτης καὶ τῆς Γαμηλίου Ἥρας θεραπεία· ἐνταῦθα δὲ ἐν πάσῃ εὐταξίᾳ τε καὶ παρθενικῇ αἰδοῖ τὴν οὐρανίαν ἔψαλλον καὶ ἐθεράπευον Ἀφροδίτην, Ἀθηνᾶν τε καὶ Μούσας καὶ Χάριτας τὰς σεμνάς, ἄνθη τε καὶ στεφάνους καὶ τὰς τῶν παρθένων ἀρετὰς καὶ ἐλπίδας ἀεὶ διὰ στόματος εἶχον. Ἐν ἀμφοτέροις μέντοι προςφιλὲς ἦν πᾶσι μέλημα καὶ τοῦ παντὸς ἐκυρίευε Μουσικὴ καὶ Ποίησις, ἐν ἀμφοτέροις ὁ τοῦ καλοῦ Ἔρως ἰσχυρῶς ἐκράτει τῶν ψυχῶν· ἀλλ' ἐκεῖ μὲν ὁ τῆς Ἀφροδίτης υἱὸς καὶ θεράπων, ἐνταῦθα δὲ ὁ τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς (Frag. 132). Καὶ πᾶσα μὲν τότε σφόδρα ἐρωτικὴ ᾠδὴ ἐκ τῶν τῆς Σαπφοῦς, πᾶν δὲ νῦν ἀπόσπασμα πυρώδη ἐκφαῖνον ἔρωτα, ἡδυπάθειάν τε καὶ τὰ τοιαῦτα, τῷ θιάσῳ ἀποδοτέα, καὶ εἰς ταῦτα, ὡς εἰκάσαι, τὰ τοῦ Ὁρατίου καὶ Πλουτάρχου ἀναφέρεται· „vivunt calores . . ., καὶ „μεμιγμένα πυρὶ φθέγγεται . ., περὶ ὧν κατωτέρω· οἷςπερ καὶ Welcker ὁμολογεῖ ἐπὶ τούτους τοὺς πυρώδεις καὶ πρὸς ἄνδρας ἔρωτας λέγων ταῦτα κατατείνεσθαι (V, 231, καὶ I, 113), καὶ οὐκ ἐπὶ τὸν Σωκρατικὸν λεγόμενον πρός τὰς κορασίδας ἔρωτα, καὶ ὅτι ταῦτα ἐπέδειξαν Σαπφὼ ἐρωτικῶν ᾀσμάτων βελτίστην διδάσκαλον. Πᾶσα δὲ τοὔμπαλιν σεμνοτέρα καὶ πρᾳέσι τισὶ γεγραμμένη λόγοις τε καὶ ῥυθμοῖς ᾠδή, καὶ πᾶν τοιοῦτον ἐκ τῶν ἀποσπασμάτων, καλόν τι δίδαγμα ἢ ἀπόφθεγμα ἐνέχον, τῇ Σχολῇ τὸ πλεῖστον ἀποδοτέα, ὧν μέγας ἦν ἀριθμός· κατὰ γὰρ Ἡφαιστίωνα δύω ὅλα πλήρη τοιούτων ἐφέρετο βιβλία (ἐν Διατριβ. 111+112).

Καὶ ἐξέστω ἡμῖν ἐνταῦθα ἑκατέρῳ τούτων τὰ προσήκοντα ἐκ τῶν ἀποσπασμάτων ἀποδιδόντας εἰκόνα τινὰ τοῦ ὅλου πειρᾶσθαι συμπληροῦν. Ἐκεῖ μὲν οὖν αἱ θιασώτιδες, αἱ θερμὴν λίαν τὴν καρδίαν ἔχουσαι Λεσβίδες, τὸν Ἔρωτα ἔψαλλον (Fr. 64),

„Ἐλθόντ' ἐξ ὀράνω πορφυρίαν περθέμενον χλάμυν,

τὸν τῆς Ἀφροδίτης θεράποντα (74)· ὃς τὸ κατ' ἀρχὰς προσιὼν μὲν φιλόφρων ἐστὶ καὶ γλυκύς, ἀλλ' ἔπειτα, ὥςπερ (42)

„Ἄνεμος κατ' ὄρος δρύσιν ἐμπέσων,
ἔρος δαὖτ' ἐτίναξε — φρένας, ἢ ὥσπερ
„Γλυκύπικρον ἀμάχανον ὄρπετον,
ἔρος δαὖτ' — ὁ λυσιμέλης δόνει. (40)

Ἐκεῖ ὁτὲ μὲν ὁ θίασος ἐν ἐρωτικῷ οἴκτῳ καὶ συναλγοῦσαι τοὺς Ἀφροδίτης ἔψαλλον θρήνους ἐπὶ τῷ Ἀδώνιδος ὀλέθρῳ (62),

„Κατθνάσκει, Κυθέρη', ἄβρος Ἄδωνις, τί κε θεῖμεν;
καττύπτεσθε κόραι καὶ κατερείκεσθε χίτωνας.

ὁτὲ δ' ὁ πᾶς θίασος ἔρωτι ἁπαλῷ κατεχόμενος ᾄσματα ᾖδε, δημοτικὴν μὲν ἔχοντα τὴν ἀρχὴν καὶ τὸν τύπον, ὑπὸ δὲ τῆς μεγάλης καλλιτεχνηθέντα ποιητρίας (52)·

„Δέδυκε μὲν ἀ σελάννα
καὶ Πληΐαδες, μέσαι δὲ
νύκτες, παρὰ δ' ἔρχετ' ὥρα,
ἐγὼ δὲ μόνα κατεύδω. ἢ (90)
„Γλυκεῖα μᾶτερ, οὔτοι δύναμαι κρέκην τὸν ἴστον,
πόθῳ δάμεισα παῖδος βραδίναν δι' Ἀφρόδιταν.

ἅπερ ἄμφω ἐκ τοῦ δημοτικοῦ εἰλημμένα οἱ πλείους τῶν Κριτικῶν ὑπολαμβάνουσιν· ὡς Welcker (I, 125), καὶ Köchy (204)· ἀλλαχοῦ μέντοι Welcker αὐτῇ Σαπφοῖ ἀποδίδωσιν (V, 231). Ἔστι δ' ὅτε ὁ μὲν θίασος πᾶς ἐν θαλερᾷ κατεκέκλιντο εὐωχίᾳ, ἡ δὲ ποιήτρια μείζω τὴν εὐθυμίαν καὶ φαιδρότητα τοῖς ἑαυτῆς ᾄσμασιν ἐκκαλέσαι βουλομένη (11),

„. . Τάδε νῦν ἐταίραις
ταῖς ἔμαισι τέρπνα κάλως ἀείσω,

οὕτω προκατάρχουσα τοῦ ᾄσματος, ἑταῖραι ἐμαὶ, ἔλεγε, καλεῖ ἡμᾶς τὸ ἐυωχεῖσθαι, εὐανθεῖς περιθώμεθα ταῖς κεφαλαῖς στεφάνους,

„Κἀπάλαις ὑποθύμιδας
πλέκταις ἀμπ' ἀπάλᾳ δέρᾳ. (46),
„Ἔγω δ' ἐπὶ μαλθάκαν
τύλαν σπολέω μέλεα. (50),

καὶ ἐν ᾧ χρόνῳ ἡμῶν τὸ ᾆσμα ῥεῖ ἀπὸ τῶν χειλέων, ῥεῖτω εἰς ἀργυρᾶ καὶ ὁ οἶνος κύπελλα· μεμίχθω μέντοι καὶ Ἔρως τῇ ἡμῶν εὐωχίᾳ·

„ . . . . Ἔλθε Κύπρι
χρυσίαισιν ἐν κυλίκεσσιν ἄβρως
συμμεμιγμένον θαλίαισι νέκταρ
οἰνοχοεῦσα. (5)

Εἰρήσθω δ' ἐν παρόδῳ πρὸς ταῦτα, ὅτι καὶ σήμερον ἐν Λέσβῳ οὐκ ἄηθες τὸ τὰς γυναῖκας πολλάκις ἰδίᾳ καὶ ἀνδρῶν ἄνευ εὐωχεῖσθαι, οἶνόν τε ἀφειδῶς ἔστιν ὅτε προσφερομένας, καὶ πάσῃ ἀνειμένῃ ἑαυτὰς παραδιδούσας εὐθυμίᾳ. Οὐχ ἥκιστα μέντοι πολλάκις καὶ ἐφιλοσόφει περὶ Ἔρωτος ἡ ποιήτρια, γλυκύπικρον καὶ ἀλγεσίδωρον καὶ μυθοπλόκον αὐτὸν λέγουσα (125), ἀλλὰ καὶ τὰ περὶ πλούτου καὶ ἀρετῆς οὐκ ἀφιλοσόφους εἴα τὰς ἑαυτῆς ἑταίρας ἡ Σαπφώ, οὕτω λέγουσα (80),

„Ὁ πλοῦτος ἄνευ σεῦ γ' ἀρέτα 'στ' οὐκ ἀσίνης πάροικος.

Ἀλλὰ καὶ τὰ περὶ παιδείας· αἰσθομένη γάρ του τῶν ἑαυτῆς ἑταιρῶν, ἢ ἐν ἄλλῳ τῳ γυναικῶν θιάσῳ, ἐπὶ μὲν πλούτῳ μέγα φρονούσης, τὰ δ' ἄλλ' ἀπαιδεύτου καὶ ἀμούσου, πρὸς δὲ Σαπφὼ γαυριώσης, τὰ περιβόητα ἐκεῖνα ἐξεῖπε (68),

„Κατθάνοισα δὲ κείσεαι πότα, κωὐ μναμοσύνα σέθεν
ἔσσετ' οὔτε τότ' οὔτ' ὕστερον· οὐ γὰρ πεδέχεις βρόδων
τῶν ἐκ Πιερίας, ἀλλ' ἀφάνης κὴν Ἀΐδα δόμοις
φοιτάσεις πεδ' ἀμαύρων νεκύων ἐκπεποταμένα.

„ . . . Ἔγων δ' ἐμαύτᾳ
τοῦτο σύνοιδα, (15)

ὅτι αἱ Μοῦσαι (10),

„Αἴ με τιμίαν ἐπόησαν ἔργα
τὰ σφὰ δοῖσαι, *καὶ ὅτι* (32)

„Μνάσεσθαί τινά φαμι καὶ ὕστερον ἄμμεων.

Ἔστι δ' ὅτε Σαπφὼ ἐκεῖ τὸν πρὸς τὸν βίον αὐτῆς ἔρωτα ἐξαίρουσα (137),

„Ἀπυθναίσκην κάκον· οἱ θέοι γὰρ
τοῦτο κεκρίκαισ'· ἀπὺ γὰρ κ' ἔθναισκον, *ἔλεγεν*,

καὶ ἀφελῆ ποιουμένη ὁμολογίαν, καὶ φανερὸν ποιοῦσα κατ' Ἀθήναιον (XV, 687), ὡς ἡ τοῦ ζῆν ἐπιθυμία ἔρως ἦν αὐτῇ τοῦ καλοῦ καὶ λαμπροῦ, ἔλεγεν (79),

„ἔγω δὲ φίλημ' ἀβροσύναν, καί μοι . . . τὸ λάμπρον
ἔρος . . . ἀελίω καὶ τὸ κάλον λέλογχεν.

Πρὸς τὰς ἀνειμένας πως ταύτας διαχύσεις πιθανώτατα ἡ ποιήτρια, Λεσβὶς αὕτη, διέκειτο οὐκ ἀηδῶς· ἀλλὰ καὶ ἀφροντιστεῖν

αὐτῶν πάνυ οὐχ οἷόν τ' ἦν αὐτῇ, τῶν ἐπιφανῶν ἐν Μυτιλήνῃ γυναικῶν μιᾷ οὔσῃ· ἴσως δέ που καὶ ἀνάγκη ἦν ἀναψυχὴν καὶ ἀνάπαυλαν ἀπὸ τῶν περὶ τὴν Σχολὴν μόχθων τε καὶ μεριμνῶν ἐνταῦθ' εὑρίσκειν. Οὐδ' ἂν ἀπίθανος καὶ δυσχερής τις φανείη ἡ ἀπὸ τοῦ ἑνὸς ἐπὶ τὸ ἄλλο μετάβασις, καὶ τὸ ἀμφοτέροις πάντ' ἐπαρκεῖν, ὅπου γε ἄνδρας ὁρῶμεν μεγαλοφυεῖς καὶ μεγαλοπράγμονας ἄμφω ταῦτα ποιοῦντας, Κίμωνά τε καὶ 'Αλέξανδρον τὸν μέγαν καὶ ἄλλους· ὅρα Πλούταρχον περὶ τούτων. Ἔστω δ' ἡμῖν καὶ προχειρότερον παράδειγμα ὁ τῆς αὐτῆς πόλεως καὶ τῶν αὐτῶν χρόνων 'Αλκαῖος ὁ ποιητής, θερμός θιασώτης τε καὶ ἀοιδὸς Ἄρεως ἅμα καὶ Βάκχου τῶν θεῶν.

'Αλλ' ὅτι Σαπφὼ πολλῷ πλείονι προθυμίᾳ τε καὶ πίστει περὶ τὴν ἑαυτῆς ἐσπούδασε Σχολήν, καὶ πολλὴ ἐνέκειτο τῆς τῶν παρθένων ἐπιμελουμένη παιδεύσεως, τοῦτο κατωτέρω τοῦ λόγου δι' οὐκ ὀλίγων ἡμῖν δεδείξεται, καὶ ὅτι τοὖργον δὴ τοῦτο, ἐς ὃ πολλῷ μᾶλλον ἑαυτὴν ἀφιερώσατο, τὸ περιφανέστατον καὶ Ἑλληνικώτατον φαίημεν ἂν αὐτῆς δημιούργημα γεγονέναι. 'Ενταῦθ' ὁρῶμεν αὐτὴν ἔκ τε τῶν σωζομένων ἀποσπασμάτων καὶ ἐξ ἑτέρων εἰδήσεων ἔρωτι διακαιομενὴν θείῳ, καὶ τῷ τούτου πυρὶ καταναλισκομένην. Πρωΐμως δὲ πάνυ ἡ Σχολὴ αὕτη δόξης μετέχειν ἤρξατο οὐ τῆς τυχούσης, ὥστε πανελληνίου μέν τινος κυρία γενέσθαι φήμης, πολλαχόθεν δὲ τῆς Ἑλλάδος πέμπεσθαι πρὸς αὐτὴν τὰς κόρας, πρός τε παιδείαν καὶ πάσης γυναιξὶ πρεπούσης ἀρετῆς τε καὶ χάριτος κτῆσιν, ὥστε τὸν ἀριθμὸν ταύτας καὶ ἑκατόν εἶναι λέγεσθαι, περὶ οὗ ὅρα 'Οβίδιον,

„Atque aliae centum, quas hic sine crimine amavi. (19)

Μαρτύρια ταῦτα, ὅτι οὐδαμοῦ μὲν τῆς πάσης Ἑλλάδος τοιαύτη ἵδρυτο παρθένων Σχολή, λαμπρῶς δ' ἐκείνη τὸν ἑαυτῆς ἐτέλει προορισμόν. Μαθητριῶν τε καὶ πόλεων, ἀφ' ὧν αὗται ὥρμηντο, ὀνόματα 'Οβίδιος ἡμῖν (15—19) καὶ Σουΐδας καὶ ἕτεροι διέσωσαν· ὧν παρ' ἐκείνῳ μὲν Pyrrhiades, Methymniades, Lesbiadum cetera turba, Anactorie, Cydno καὶ Atthis φέρονται, παρὰ τούτῳ δὲ μαθήτριαι μὲν 'Αναγόρα Μιλησία, Γογγύλα Κολοφωνία, Εὐνείκα Σαλαμινία, ἑταῖραι δ' αὐτῆς καὶ φίλαι, 'Ατθίς, Τελεσίππα, Μεγάρα· ὅρα καὶ Neue (7) καὶ Plehn (187) καὶ Welcker (IV, 88) καὶ Flach (II, 499) καὶ λοιπούς. Κατανοεῖν δ' οὐχ οἷόν τ' ἦν ἡμῖν, τίνι ποτὲ λόγῳ Welcker

τὴν διάκρισιν ποιούμενος, τὰς ἀπὸ Λέσβου μόνας κόρας λέγει τὴν Σχολὴν ἀποτελεῖν, τὰς δ' ἀλλοδαπὰς τὸν θίασον.

Δύω τινὰ περὶ τῆς Σχολῆς ταύτης σκεπτέον, τήν τε πολυμερῆ καὶ ἀνωτέραν, ἧς αἱ κόραι ἐκεῖ μετελάμβανον παιδείαν, καὶ τὴν ἠθικὴν συνεκτικὴν δύναμιν, δι' ἧς τὴν ἑαυτῆς Σχολὴν ἰσχυρῶς ἔγνω συγκρατεῖν ἡ διδάσκαλος. Καὶ τοῦ μὲν πρώτου τοιαύτην τινὰ ἔχομεν ἔννοιαν· βουλομένη γὰρ Σαπφὼ πρός τε τὴν ἐν τῷ οἴκῳ πρᾶξιν καὶ τὸν ἐν γένει βίον, ἀλλὰ τὸν ἐπιχάριτα ἐκεῖνον καὶ ἁβρὸν τῶν ἐν Μυτιλήνῃ εὐπατριδῶν, τὰς κόρας παρασκευάζειν, ὑπετίθει μὲν τὸ κατ' ἀρχὰς πάντως Γραμμάτων τινῶν καὶ μαθημάτων διδασκαλίαν, καὶ δὴ τὸ πλεῖστον ἐν Μουσικῇ καὶ Ποιήσει, οὐκ ἀπέκλειε μέντοι τῶν ἐκεῖ διδαγμάτων καὶ κατώτερά τινα οἰκιακὰ ἔργα, οἷά ἐστι τὰ ὑφαίνειν τε καὶ ἔρια βαφαῖς τε χρωννύναι καὶ ἄλλως παρασκευάζειν, ἐφ' οἷς αἱ Λεσβίδες ἐφημίζοντο τὸ πάλαι, ὡς ἡμᾶς Ὅμηρος διδάσκει ἐν Ἰλιάδι (I, 128),

„Δώσω δ' ἑπτὰ γυναῖκας, ἀμύμονα ἔργα ἰδυίας,
Λεσβίδας, ἃς, ὅτε Λέσβον ἐΰκτιμένην ἕλεν αὐτὸς,
ἐξελόμην, αἳ κάλλει ἐνίκων φῦλα γυναικῶν.

οἱ γὰρ χρόνοι τοιοῦτοι, οὐδ' ἀφεστηκότες πολὺ τῶν ἡρωικῶν, καθ' οὓς Ὅμηρος Ἑλένην τε εἰσάγει ἐπὶ ὑφαντικῇ φημιζομένην, περὶ οὗ ὅρα Ἰλιάδα (Γ, 125),

τὴν δ' εὗρεν ἐν μεγάρῳ· ἡ δὲ μέγαν ἱστὸν ὕφαινεν,
δίπλακα πορφυρέην, πολέας δ' ἐνέπασσεν ἀέθλους
Τρῴων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων,

καὶ Ὀδύσσειαν (Ο, 105)· Ναυσικᾶν τε τὰ ἱμάτια ἐν ποταμῷ πλύνουσαν, περὶ οὗ ὅρα Ὀδύσ. (Ζ), καὶ ὅσα τοιαῦτα. Ἐξήσκει μέντοι καὶ ἐπαίδευεν αὐτὰς καὶ ἐλευθεριωτέροις τισὶν ἔργοις καὶ ἐπιτηδεύμασιν, οἷα τὰ δεξιῶς τε καὶ ἐπιχαρίτως στεφανοῦσθαι, χορούς τε συνιστάναι, καὶ ἐν ῥυθμῷ περὶ τοὺς βωμοὺς κινεῖσθαι, καὶ ἐν χορῷ ᾄδειν, καὶ ταῦτα πρὸς τὸν τῶν Καλλιστείων ἀγῶνα, τὸν μετὰ τοσαύτης λαμπρότητος ὑπὸ Μυτιληναίων θεραπευόμενον. Ἀλλ' ὅτι Σαπφὼ ἰδίᾳ τοῦ κοσμίως καὶ χαριέντως πάντα ποιεῖν σφόδρα ἐπεμελεῖτο, καὶ τὰς κόρας εἰς τοῦτο πολλῇ τινι προῆγε σπουδῇ, δῆλον ἔκ τέ τινων ἀποσπασμάτων, ὡς κατωτέρω δεδείξεται, ἔκειτο δὲ καὶ ἐγγύτατα τοῦτο τοῖς τε Αἰολικοῖς ἐν Λέσβῳ ἤθεσι καὶ διαίταις καὶ τῇ Σαπφοῦς δὲ

αὐτῆς φύσει. Ὅπου γὰρ τοὺς τῶν ἀῤῥένων παιδαγωγοὺς ὁρῶμεν πολλοῦ τοῦτο ποιουμένους, καὶ τοὺς νέους διδάσκοντας ἐλευθερίως τε καὶ ἐπιδέξια τὴν ἐσθῆτα ἀναλαμβάνειν, ἡσυχῇ τε ἐν ταῖς ὁδοῖς βαδίζειν καὶ διαλέγεσθαι, καὶ κοσμίως πάντα πράττειν, ὃ σωφροσύνην Πλάτων ἐν Χαρμίδῃ καλεῖ (159), τοὺς δὲ τἀναντία πράττοντας σκώμμασι περιπίπτοντας, ὥς φησιν Ἀθήναιος (I, 21), Ἄλεξις δὲ παρ' αὐτῷ Ἀθηναίῳ λέγει· „ἓν γὰρ νομίζω τοῦτο τῶν ἀνελευθέρων εἶναι, τὸ βαδίζειν ἀῤῥύθμως ἐν ταῖς ὁδοῖς, ἐξὸν καλῶς, ὃ φέρει τοῖς μὲν χρωμένοις δόξης τινὰ ὄγκον, τοῖς δ' ὁρῶσιν ἡδονήν· ὅπου τὰς Αἰολίδας σαφῶς ἴσμεν λίαν σεμνὰς τοῖς τε παραστήμασι καὶ τοῖς τρόποις οὔσας, ὡς ἡμᾶς Δικαίαρχος διδάσκει περὶ τῶν Θηβαίων γυναικῶν λέγων (144), ὅτι τοῖς μεγέθεσι, πορείαις καὶ ῥυθμοῖς εὐσχημονέσταταί τε καὶ εὐπρεπέσταται ἦσαν τῶν ἐν Ἑλλάδι γυναικῶν· ὅπου δὴ οὐ μὴν παρὰ Τενεδίοις, ἀλλὰ μάλιστα παρὰ Λεσβίοις ὁ τῶν Καλλιστείων ἀγὼν ἐς τοῦτο, τῶν κυρίων ἕν, τὰς τῶν τρόπων χάριτας ἀπέβλεπε, περὶ οὗ ὅρα καὶ Ἀθήναιον (XIII, 609 + 610)· πόσῳ μᾶλλον Σαπφώ, ἡ πρὸς τὸ ἁπανταχοῦ κάλλος ἔνθους τετραμμένη, ἐβούλετό τε καὶ ὤφειλε ταῦτα ποιεῖν; Λέγει δέ που καὶ Flach περὶ τούτου (II, 503), ὅτι ἐν τῇ Σαπφοῦς Σχολῇ πρὸς ἄλλοις πολλοῖς τὸ τῆς φιλοκαλίας καὶ χάριτος ἠσκεῖτο αἴσθημα. Ἰδίᾳ γε μὴν Σαπφὼ ὁρῶμεν τῇ πάσῃ διδασκαλίᾳ σοφίαν τε καὶ ἀρετὴν οὐκ ὀλίγην εἰς τὰς τῶν παρθένων ἐνσπείρουσαν ψυχάς, πάμπολα δὲ σοφώτατα καὶ χρηστοῦ ἤθους διδάγματα, τροφὴν ταύτην τῆς ψυχῆς ὑγιᾶ, ἐνέχειν τὴν Σαπφοῦς μανθάνομεν ποίησιν· καὶ εἴπερ ἐξ ὄνυχος τὸν λέοντα διαγιγνώσκειν ἔξεστιν ἡμῖν, πρόκειται ἔτι πολλὰ ἐν τοῖς σωζομένοις λειψάνοις· διαῤῥήδην μέντοι καὶ Ἡφαιστίων λέγει ἐν Διατριβαῖς (111 + 112), τὸ δεύτερον καὶ τρίτον ὅλον βιβλίον τῶν ἐκείνης ποιημάτων κάλλιστα ἐνέχειν καὶ διδακτικώτατα δίστιχα, ἀποφθέγματα ταῦτα καὶ γνώμας σοφάς. Τὸ ἐν πολλοῖς διδακτικὸν τῆς Σαπφικῆς ποιήσεως δηλοῦσιν, ὡς καὶ ἑτέροις δοκεῖ, καὶ Πλούταρχος καὶ Ἀθήναιος πολλάκις λέγοντες, Σαπφὼ παραινεῖ ἐν τῷδε, παραγγέλλει ἐν ἐκείνῳ κ. τ. ἑ. Παράβαλε τούτοις καὶ Παυσανίαν (I, 25) καὶ Δίωνα Χρυσόστομον (or. II, 81) καὶ Ulrici ἐν τῇ τῆς Ἑλληνικῆς Ποιήσεως ἱστορίᾳ (II, 364) καὶ Welcker I, 128).

Περὶ δὲ τοῦ ἰσχυρῶς συντεταγμένου τῆς Σχολῆς καὶ τῆς ἐς τοῦτο συμβαλλομένης ἠθικῆς συνεκτικῆς δυνάμεως εἰρήσθω ἡμῖν τὰ ἑξῆς ταῦτα. Ὅταν καὶ τῆς μικρὸν μετὰ τοὺς χρόνους τούτους γενομένης ἀναμνησθῶμεν Πυθαγορείου Σχολῆς, καὶ τῶν ἐν τοῖς μετέπειτα Σωκρατικῶν, τῆς τε τοῦ ἀρχηγέτου καὶ τῶν ἀπὸ τῆς Στοᾶς, ὅτι εὔνοιαί τε καὶ ἰσχυραὶ φιλίαι συνέδεον ἐν αὐταῖς διδασκάλους τε καὶ μαθητὰς ἀλλήλοις, ὅταν τὴν τοῖς Αἰολεῦσι καὶ δὴ τοῖς Λεσβίοις ἔμφυτον πρὸς τοὺς θιάσους καὶ τὰς τοιαύτας φιλικὰς συγκροτήσεις τάσιν ἐνθυμηθῶμεν, ἐπὶ τούτοις δὲ τὴν μυστικήν πως καὶ Μούσαις τε καὶ Ἔρωτι καθωσιωμένην τῆς Σαπφοῦς ψυχὴν ἐν νῷ λάβωμεν, περὶ ἧς ὁμολογοῦσι μὲν ἀλλήλοις οἱ Κριτικοί, εἰρήσεται δὲ καὶ ἡμῖν κατωτέρω, ἔξεστιν ἡμῖν μετὰ τοῦ δικαίου τὴν Σαπφοῦς Σχολὴν ἀποδέχεσθαι καὶ θεωρεῖν ὥς τι τῶν Μουσῶν ἱερὸν καὶ τέμενος, ὥς τινα σεμνῶν Ἑστιάδων θίασον, ὡς παρθενῶνα ἅγιον, ἐν ᾧ αἱ περὶ τὴν διδάσκαλον κόραι ἐν λαμπρᾷ τινι καὶ ἀπηκριβωμένῃ τάξει, ἐν πειθαρχίᾳ καὶ σεμνότητι συνδιαιτώμεναι, τὴν τῆς θεοῦ Ἀθηνᾶς, τὴν τῶν Μουσῶν καὶ Χαρίτων λατρείαν σπουδῇ ἅμα καὶ κοσμιότητι θεραπεύουσαι διετέλουν, ἅμα δὲ καὶ ὥς τι ἱερὸν ἐργαστήριον, ὡς εἰπεῖν, ἀληθοῦς γυναικείας ἀγωγῆς καὶ παιδεύσεως, ἔνθα ἡ μεγάλη ποιήτρια, ὥς τις ἱέρεια ἅμα καὶ διδάσκαλος, ζήλῳ ἐνθέῳ καὶ συντόνῳ ἐπιμελείᾳ τὸ ἑαυτῆς ἐξετέλει ἔργον. Οὕτω μετ' ἄλλων καὶ Köchly (160) μάντιν, τινὰ καὶ ἱέρειαν λέγει Σαπφώ, Σίβυλλαν ἢ Μαντώ, τῇ Μουσικῇ καὶ Ποιήσει ἑαυτήν τε καὶ τὴν ἑαυτῆς Σχολὴν τοῖς θεοῖς καθοσιώσασαν. Οὕτω καὶ Kock. Τὴν ἱερότητα μέντοι καὶ τὸ αὐστηρὸν τοῦτο ἐν τῇ Σχολῇ οὐχ ὑπερηφάνῳ τινί σκληρότητι, οὐ ψυχρῷ φόβῳ καὶ τυραννικαῖς διατάξεσι κατόρθου τε καὶ διετήρει ἐκείνη, ἀλλ' ἄλλῳ τῳ ἰσχυρῷ δεσμῷ καὶ ἀκαταλύτῳ συνεκτικῇ δυνάμει ἔγνω στενῶς περὶ ἑαυτὴν συγκρατῆσαι τὰς κόρας, καὶ ἦν ἡ δύναμις αὕτη ὁ ἔρως, ἁγνὸς μὲν καὶ ἐλευθέριος, σφοδρὸς δὲ ἅμα, ᾧπερ αὐτή τε πρὸς τὰς μαθητρίας πολλῷ κατείχετο, ἐκεῖναί τε πρὸς τὴν διδάσκαλον καὶ πρὸς ἀλλήλας. Τὰ μεγάλα καὶ εὐγενοῦς πεπληρωμένα ἔρωτος στήθη ἡ ἐπιφανὴς ἠνέῳξε διδάσκαλος, καὶ ποταμὸν τούτου διαυγῆ ἐπὶ τὴν Σχολὴν ἐξέχεεν, ὡς ἐκ καλλιῤῥόου καὶ εὐεργετικῆς πηγῆς ἀφθόνως ῥέοντα. Ἀλλὰ μῶν καὶ ἡ Πυθαγόρου Σχολὴ οὐ τοιαύτῃ τινὶ ἀρχῇ

καὶ συνδέσμῳ τοιούτῳ εὐθύς τε ἐκ πρώτων ὥς τι ἱερὸν καθίστατο ἵδρυμα, καὶ ἄχρι τέλους οὕτω σφιγκτὰ συντεταγμένη διετέλει; ἢ οὐχ ἡ Δάμωνος καὶ Φιντίου φιλία παροιμιώδης γέγονε; Μῶν καὶ Σωκράτης οὐ ταὐτὰ διετέλει ἐπιτηδεύων, καὶ τῶν ἀπ᾽ ἐκείνου Σχολῶν αἱ πολλαὶ τοιούτῳ κἀκεῖναι συνετετάχατο συνδέσμῳ; Καὶ Κούρτιος δὲ ἐν τῷ Alterthum und Gegenwart (193 + 194) ταὐτά που γνωματεύει, τὰς τῶν ἀρχαίων λέγων Σχολὰς Ἔρωτα καὶ φιλίαν συναγείρειν, καὶ τούτοις ἰσχυρῶς συγκρατεῖσθαι μαθητάς τε καὶ διδασκάλους κ. τ. ἑ. Γνωστός γε μὴν Σωκράτης Ἔρωτα τῆς ἑαυτοῦ διδασκαλίας ἡγεμόνα ποιησάμενος. Τοιαῦτ᾽ οὖν καὶ Σαπφὼ ποιοῦσα, ὡς Ἑλληνίς τε ἐποίει, ἀλλὰ καὶ ὡς Λεσβὶς ἅμα, πυρώδη φύσιν καὶ ἐρωτικὴν πάνυ ἔχουσα, ἐς ὑπερβολὴν ἐπέτεινεν, οὐ σμικρὸν καὶ διὰ τὸν ἴδιον χαρακτῆρα. Καὶ τόδε τρανὲς ἔστω μαρτύριον τῆς τῶν λεγομένων ἀληθείας.

Θνήσκει Τιμάς, τῶν περικαλλῶν κορασίδων, τῶν Σαπφοῦς ὁμιλητριῶν μία, καὶ λύπη τὴν Σχολὴν ἅπασαν καταλαμβάνει ἄφατος, κακαρμέναι δὲ τὰς κόμας, δεῖγμα τοῦτο μεγάλου πένθους, κόπτονται μὲν περὶ τὴν φίλην νεκρὰν αἱ συνεταιρίδες ἅπασαι, ἐπιγράμματα δὲ μεγίστην ἐκδηλοῦντα λύπην ἐπὶ τῷ προώρῳ αὐτῆς ποιοῦνται θανάτῳ, ὧν καὶ τὸ σωζόμενον τῆς διδασκάλου αὐτῆς (119),

„Τιμάδος ἅδε κόνις, τὰν δὴ πρὸ γάμοιο θανοῦσαν
δέξατο Φερσεφόνας κυάνεος θάλαμος,
ἃς καὶ ἀποφθιμένας, πᾶσαι νεοθᾶγι σιδάρῳ
ἅλικες ἱμερτὰν κρατὸς ἔθεντο κόμαν.

Τὸ γὰρ ἅλικες ἐνταῦθα ἴσα δύναται τῷ, συνεταιρίδες, καὶ περὶ τῶν Σαπφοῦς λαμβάνεται ὁμιλητριῶν, ᾧπερ ὀνόματι τούτῳ καὶ Ἤριννα χρῆται ἐν τῷ πρὸς Βαυκίδα ἐπιγράμματι, ὁμοίῳ τῷ Σαπφοῦς, τῷδε (5),

„ . . . Χὤτι με νύμφαν εὖσαν ἔχει τάφος, εἴπατε καὶ τό·
χὤτι πατήρ μ᾽ ἐκάλει Βαυκίδα, χὤτι γένος,
Τηνία, ὡς εἰδῶντι· καὶ ὅττι μοι ἁ συνεταιρὶς
Ἤρινν ἐν τύμβῳ γράμμ᾽ ἐχάραξε τόδε.

Πιθανὰ δὲ λίαν δοκεῖ ἡμῖν καὶ Flach δοξάζειν (II, 512), ἐν οἷς φησιν, οὐ μὴν τὸ Σαπφοῦς πρὸς Τιμάδα, ἀλλὰ καὶ τὸ Ἠρίννης πρὸς Βαυκὼ ἐπίγραμμα, καὶ θἄτερον ἔτι (521), ἅπερ ὅρα καὶ παρὰ Bergk ἐν τρίτῳ (144+145), ὡς καὶ τὸ Σαπφοῦς ἕτερον (118),

ἅπαντα ἐπὶ τῷ προώρῳ κορασίδων θανάτῳ πεποιημένα, μαρτυροῦσιν, ὅτι πολλὰ τοιαῦτα ἐν τῇ Σαπφοῦς Σχολῇ ἐπεποίητο. Ἆρ' ἔστι ταῦτ' οὖν ψυχρᾶς καὶ ὀλιγώρου διδασκαλίας μαρτύρια, ἐν Σχολῇ ἀνειμένως καὶ χαλαρῶς συγκεκροτημένῃ, ὀλιγώρως τε καὶ ψυχρῶς διακειμένων ἀλλήλαις μαθητριῶν; ἢ τὸν ἁγνὸν καὶ πυρώδη τῆς τε ἐπιστατούσης διδασκάλου καὶ τῶν παδευομένων παρθένων πρὸς ἀλλήλας ἔρωτα ἐμφανῶς δεικνύασιν; Αὐτό γε μὴν τοῦτο καὶ τῶν σωφρονούντων Κριτικῶν οἱ πολλοὶ ἐξαίρουσι, δηλονότι τὸν τὴν Σαπφοῦς Σχολὴν συνέχοντα ἐρωτικὸν σύνδεσμον, ἁγνὸν μὲν τοῦτον ὄντα καὶ ἱερὸν, ἀλλὰ καὶ ἰσχυρὸν ἅμα, ὡς εἰπόντες ἔφθημεν. Οὕτως Ulrici (II, 364) πιθανῶς ἡγεῖται, τὴν Σαπφοῦς Σχολὴν σύνδεσμον ἱερὸν εἶναι μᾶλλον, ἅγιά τινα σκοποῦντα καὶ διανοούμενον, τούτου δὲ μαρτύρια παρ' Ἀλκαίου τε φέρει καὶ Δημητρίου καὶ Στράβωνος, περὶ οὗ ὅρα καὶ Kock (32). Τῷ Ἔρωτι ἄρα Σαπφὼ ἐχρήσατο ὀργανῳ καὶ ἐπικουρήματι θαυμασίῳ πρὸς τὴν τῶν παρθένων ἀγωγὴν καὶ παιδείαν, ἁβρῷ μὲν λίαν καὶ φιλόφρονι, σφοδρῷ δὲ καὶ πυρώδει, ἀλλ' ἀείποτε ἱερῷ καὶ ἁγνῷ. Περὶ τοῦ ἔρωτος τούτου, ἐπειδήπερ τινὲς κατά τε τοὺς Μέσους αἰῶνας καὶ τῶν νεωτέρων δὲ Κριτικῶν τοσοῦτον αὐτῷ προσέκοψαν, ὥστε πολλὰ μὲν πεπλανημένῃ, οὐκ ὀλίγα δὲ καὶ πονηρᾷ τῇ διανοίᾳ καὶ ἄλλους μὲν ἐξειπεῖν κακά, ἰδίᾳ δὲ τὴν Μυτιληναίαν ποιήτριαν πόλλ' ἄττα διαβαλεῖν, ἀνάγκη ἡμῖν τὰ ἑξῆς ταῦτα λέγειν.

Οὐδὲν ἐπὶ γῆς ἔθνος τὴν τοῦ καλοῦ ἰδέαν οὐ μὴν εὐφυῶς διενοήθη καὶ λαμπρῶς κατὰ φαντασίαν συνέλαβεν· ἀλλὰ καὶ λίαν ἐπιτυχῶς ἐξέφηνέ τε καὶ διετύπωσεν ἔν τε τῇ τέχνῃ καὶ τῇ φιλοσοφίᾳ, ἔν τε τῇ πράξει τῇ κατὰ τὸν βίον οὕτως, ὅσον τὸ τῶν πάλαι Ἑλλήνων. Οὐδένα δ' αὖ λαὸν ἐπὶ γῆς οὕτως ἰσχυρὸς κατέσχεν ὁ τοῦ καλοῦ τούτου ἔρως κατά τε τὴν νεκρὰν καὶ τὴν ἔμψυχον φύσιν, ὅσον τὸν τῆς πάλαι Ἑλλάδος. Ἐξ ὧν ἀμφοτέρων ἥ τε τοσαύτη παρ' ἐκείνοις ἀκμὴ τῶν καλῶν λεγομένων τεχνῶν, καὶ πλεῖστα ἄλλα τιμῆς τε καὶ θαυμασμοῦ ἄξια ἔργα. Οὐδ' ἂν ἀπιθάνως λέγοιμεν, εἰ τὸν τὰ μέγιστα ἐν τῇ πάλαι Ἑλλάδι διαπράξαντα, ἔρωτα τοῦτον φαίημεν τὸν τοῦ καλοῦ, ἐν ᾧ καὶ ὁ πρὸς πᾶσαν ἄλλην ἀρετήν τε καὶ δόξαν δικαίως ἂν καταλέγοιτο. Ἰδίᾳ δὲ παρ' Ἕλλησιν ἐκ τοῦ ἔρωτος τούτου φιλίαι τινὲς νεωτέρων τε

πρὸς ἀλλήλους καὶ πρεσβυτέρων πρὸς νεωτέρους γεγόνασιν οὕτως ἰσχυραί, ὥστε καὶ ὑπεραποθνήσκειν ἐθέλειν ἀλλήλων τοὺς τοιούτους, καθὰ Ἀθήναιός φησιν ἐν δεκάτῳ τρίτῳ (602)· καὶ συστήματα δὲ ἐξ ἐραστῶν καὶ ἐρωμένων γεγόνασιν, οἷος ὁ παρὰ Θηβαίοις ἱερὸς λόχος, περὶ οὗ Πλούταρχος ἐν Πελοπίδου βίῳ (XVIII), τὸ ἐξ ἐρωτικῆς φιλίας συνηρμοσμένον στῖφος ἀδιάλυτον εἶναι λέγει καὶ ἄρρηκτον, ὅταν οἱ μὲν ἀγαπῶντες τοὺς ἐρωμένους, οἱ δὲ αἰσχυνόμενοι τοὺς ἐρῶντας ἐμμένωσι τοῖς δεινοῖς ὑπὲρ ἀλλήλων, κ. τ. ἑ., καὶ τοσαῦτα ἄλλα ἐπιδείξειεν ἄν τις λαμπρά τε καὶ θαυμάσια. Δοκεῖ δ' ἡμῖν καλῶς καὶ τὰ παρὰ Κουρτίῳ κεῖσθαι ἐν τῷ Alterth. u. Gegenw. (188), ὃς τὴν φιλίαν παρ' Ἕλλησιν ἰσχυροτάτην λέγει τῶν ὁρμῶν, καὶ ἴσα μὲν δύνασθαι ταύτην τῇ καθ' ἡμέραν τροφῇ, τὸν κρείττω δ' ἀείποτε παρ' ἐκείνοις λόγον ἔχειν, καὶ ἐς Ἄιδου δ' αὐτὴν τὸν ἐρῶντα πρὸς τὸ ἐρώμενον κατάγειν. Καὶ ἐν μὲν τοῖς τῶν Ἑλλήνων μύθοις τῶν πρωτογόνων θεῶν εἷς ἦν ὁ Ἔρως καὶ δὴ ὁ κάλλιστος, καθὰ καὶ Ἡσίοδος ἐν Θεογονίᾳ λέγει (116),

„Ἤτοι μὲν πρώτιστα Χάος γένετο . . . .
ἠδ' ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσιν.

ἐν δὲ τῇ φιλοσοφίᾳ, τῇ μὲν ἀρχαιοτέρᾳ ἀρχή τις καὶ δύναμις πρὸς τὴν τοῦ παντὸς δημιουργίαν ὁ Ἔρως ὑποτίθεται, καὶ φησὶ δὲ κατὰ Πλάτωνα ἐν Συμποσίῳ (178) ὁ κατὰ τοὺς Ἐλεάτας φιλοσοφῶν Παρμενίδης,

„Πρώτιστον μὲν ἔρωτα θεὸν μητίσατο πάντων,

ῥητῶς δὲ καὶ Ἐμπεδοκλῆς ὁ τῶν Ἀτομιστῶν πρόδρομος μίαν τῶν τοῦ Σύμπαντος μορφωτικῶν δυνάμεων φιλίαν καὶ ἔρωτα λέγει, περὶ οὗ ὅρα καὶ Schvegler ἐν τῇ τῆς φιλοσοφίας ἱστορίᾳ (21). Ἀλλ' ὅσον ἐν τῇ Σωκράτους φιλοσοφίᾳ, τῇ πρὸς τὸν βίον καὶ τὰς πράξεις μᾶλλον τετραμμένῃ, ὁ Ἔρως κρατεῖ τε καὶ τοῦ παντὸς κυριεύει, δηλοῖ τοῦτο Πλάτων ὁ ἐκείνου ἄριστος μὲν ὁμιλητής, ἄριστος δὲ καὶ τῶν τότε φιλοσοφησάντων· ὃς πολλοὺς μὲν τῷ Ἔρωτι διαλόγους ἀφιερώσατο, τέλειον δὲ ἐρωτικὸν τὸν διδάσκαλον διὰ πολλῶν ἀποφαίνεται, ἐν δὲ τῇ ἑαυτοῦ Ἀκαδημίᾳ τὸ Ἔρωτος ἱδρύσατο ἄγαλμα· ὅρα περὶ τούτου καὶ A. Hug ἐν τῇ εἰσαγωγῇ εἰς Συμπόσιον Πλάτωνος (XVIII καὶ ἀλλαχοῦ). Ὅτι δὲ ὁ ἔρως οὗτος ὁ κατὰ Σωκράτην, καὶ ἐν γένει εἰπεῖν ὁ τῶν πρεσβυτέρων

πρὸς νεωτέρους πάντως παιδευτικὴν ἔσχε τὴν φύσιν, πάλαι μὲν καὶ παρὰ πολλῶν ἀρχαίων τε καὶ νεωτέρων μαρτυρεῖται, καὶ ἐπὶ τούτῳ ἐλέγετό τε εἶναι, καὶ ἐν πλείσταις ἐπετρέπετο τῶν Ἑλληνίδων πόλεων, πολλὰ δ' ἡμῖν πρόκειται παραδείγματα οὐ μὴν ἀνδρῶν πρὸς ἀλλήλους, ἀλλὰ καὶ γυναικῶν πρεσβυτέρων πρὸς νεαρὰς κόρας, οἷόν τι ἐν Σπάρτῃ συνέβαινε γίγνεσθαι, καθὰ ἡμᾶς Πλούταρχος ἐν βίῳ Λυκούργου διδάσκει (XVIII), οὕτως ἐγκεκριμένου ὄντος τοῦ ἐρᾶν, λέγων, ὥστε καὶ τῶν παρθένων ἐρᾶν τὰς καλὰς κἀγαθὰς γυναῖκας, τὸ ἀντερᾶν οὐκ ἦν, ἀλλὰ μᾶλλον ἀρχὴν ἐποιοῦντο φιλίας πρὸς ἀλλήλους, ὡς τῶν αὐτῶν ἐρασθέντες, καὶ διετέλουν κοινῇ σπουδάζοντες, ὅπως ἄριστον ἀπεργάσωνται τὸν ἐρώμενον. Ἀλλὰ τὸ παιδευτικὸν τοῦτο καὶ φιλάνθρωπον, ἅμα δὲ καὶ φιλόσοφον τοῦ Ἔρωτος καὶ πρὸς τὴν ἀθανασίαν τεῖνον ἐς τοὐμφανὲς ἄγει, καὶ λαμπρῶς οὕτως ἐξαίρει Σωκράτης καὶ δι' ἄλλων πολλῶν, ἀλλὰ δὴ καὶ ἐν τῷ Συμποσίῳ Πλάτωνος διὰ τοῦ τῆς σοφῆς Διοτίμας λόγου, ἔνθα μετὰ Φαῖδρόν τε καὶ Ἀγάθωνα, τὸν μέν, οὐδεὶς οὕτω κακός, λέγοντα, ὅντιν' οὐκ ἂν αὐτὸς ὁ Ἔρως ἔνθεον ποιήσειε πρὸς ἀρετήν· τὸν δέ, ὅτι ὁ Ἔρως πρὸς τῇ δικαιοσύνῃ σωφροσύνης πλεῖστον μετέχει.., σοφὸς δ' ὁ θεὸς οὕτως, ὥστε καὶ ἄλλον ποιῆσαι, καὶ ἄλλους ἄλλα τὸν θεὸν ἐγκωμιάζοντας, προκατάρχει μὲν Σωκράτης τοῦ ὁρισμοῦ (206), τὸ κεφάλαιον, λέγων, ἔρωτα εἶναι πᾶσαν τὴν τῶν ἀγαθῶν ἐπιθυμίαν καὶ τοῦ εὐδαιμονεῖν, ἕπεται δὲ τὰ Διοτίμας σοφώτατα ἐκεῖνα, καθ' ἅ· „ἔστιν Ἔρως τόκος ἐν καλῷ κατά τε τὸ σῶμα καὶ κατὰ τὴν ψυχήν..., ὅταν δέ τις ἐγκύμων ᾖ τὴν ψυχήν, καὶ ἡκούσης τῆς ἡλικίας τίκτειν τε καὶ γεννᾶν ἤδη ἐπιθυμῇ, ζητεῖ δὴ οἶμαι καὶ οὗτος περιιὼν τὸ καλόν, ἐν ᾧ ἂν γεννήσειεν, ἐν τῷ γὰρ αἰσχρῷ οὐδέποτε γεννήσει· καὶ ἂν ἐντύχῃ ψυχῇ καλῇ καὶ γενναίᾳ καὶ εὐφυεῖ, πάνυ δὴ ἀσπάζεται τὸ ξυναμφότερον, καὶ πρὸς τοῦτον τὸν ἄνθρωπον εὐθὺς εὐπορεῖ λόγων περὶ ἀρετῆς, καὶ οἷον χρὴ εἶναι τὸν ἄνδρα τὸν ἀγαθόν, καὶ ἃ ἐπιτηδεύειν, καὶ ἐπιχειρεῖ παιδεύειν". Δῆλον ἐκ τούτων τῶν λόγων γίγνεται, ὅτι ὁ Ἔρως ὁ Σωκρατικὸς οὗτος πρῶτον μὲν τοῦ καλοῦ, εἶτα δὲ ἀγωγῆς καὶ παιδεύσεως τοῦ καλοῦ τούτου ἔρως ἦν.

Ὅτι μὲν οὖν Σαπφώ, ὑπὲρ πᾶσαν ἄλλην σφόδρα αὕτη ἐρωτικὴ γυνή, ἀλλὰ μὴν καὶ πρὸς τὰς τῶν πραγμάτων Ἰδέας εὐχερῶς

αἰρομένη, μεγαλοφυὴς μὲν τῇ ψυχῇ, πρὸς πᾶν δὲ εὐγενὲς καὶ φιλόμουσόν τε ἅμα καὶ φιλάνθρωπον λίαν εὐαισθήτως ἔχουσα, ὡς τά τε σωζόμενα τῆς αὐτῆς ποιήσεως λείψανα καὶ αἱ περὶ αὐτῆς μαρτυροῦσιν εἰδήσεις, σοφή τε καὶ ἀγαθή, ὡς ὁ σοφὸς καὶ ἀγαθὸς Σωκράτης, οὐδὲν ἀλλ' ἢ ταὐτὰ τῷ Ἀθηναίῳ σοφῷ ἐπετήδευε, καὶ ἀκριβῶς οὕτω τὸν πρὸς τὰς καλὰς παρθένους ἔρωτα ἐνενόει τε καὶ ἐθεράπευε μετ' ἴσης μὲν ἐκείνῳ ἐπιμονῆς, μετὰ πλείονος δὲ χάριτος, ἀλλὰ καὶ θερμοτέρου ἅμα πυρός, οὐδὲν ἀλλ' ἢ σωφροσύνην καὶ τὴν ἄλλην ἀρετὴν ἐν τούτῳ αὐτή τε ἀσκεῖν καὶ τοὺς ἄλλους διδάσκειν ἡγουμένη, εἰρήσεται μὲν ἡμῖν πολλαχῶς, καὶ διὰ παντὸς τοῦ λόγου δεδείξεται, τοῦτο δὲ μόνον ἐξέστω ἐνταῦθα, τὴν ὁμοιότητα καὶ ταὐτότητα τοῦ ἔρωτος παρ' ἀμφοῖν τούτοιν τοῖν διδασκάλοιν δι' ὀλίγων δεικνύναι. Καὶ πρῶτον μὲν αὐτὸς Σωκράτης ἐν Φαίδρῳ ὁμολογεῖ (235) τὰ ἐρωτικὰ παρὰ Σαπφοῦς τῆς καλῆς καὶ Ἀνακρέοντος τοῦ σοφοῦ δεδιδάχθαι. Δεύτερον, ὅτι τὰ θαυμάσια ἐκεῖνα περὶ Ἔρωτος Διοτίμᾳ ἀποδίδωσι, γυναικὶ σοφῇ, ἥ, εἴπέρ τις καὶ ἄλλη, Σαπφὼ μάλα ὁμοία ἐλέγετό τε καὶ ἦν, ὅπου καὶ Λουκιανός ἐν Εἰκόσι (18) τὴν ἡμετέραν ποιήτριαν ταύτῃ τε καὶ Θεανοῖ ὁμοιοῖ, ἐπαινῶν κατὰ τὸ αὐτὸ ἁπάσας καὶ θαυμάζων. Ἔπειτα τρίτον ἥ τε Σαπφοῦς Σχολὴ καὶ τὰ κατ' αὐτὴν ἐρωτικὰ πολλάκις ἤδη τοῖς Σωκράτους προσεικάσθη ἐπιτηδεύμασιν, ὥς περ ὑπὸ Μαξίμου Τυρίου ἐν ταῖς Διατριβαῖς (XXIV, 478), ἔνθα ταῦτα πρὸς ἄλλοις φέρεται· „ὁ τῆς Λεσβίας ἔρως, εἴτοι χρὴ πρεσβύτερα τοῖς νέοις εἰκάσαι, τί ἂν εἴη ἄλλο ἢ ἡ Σωκράτους τέχνη ἐρωτική; Δοκοῦσι γάρ μοι τὴν κατὰ ταὐτὸ ἑκάτερος φιλίαν, ἡ μὲν γυναικῶν, ὁ δὲ ἀρρένων ἐπιτηδεῦσαι· καὶ γὰρ πολλῶν ἐρᾶν ἔλεγον καὶ ὑπὸ πάντων ἁλίσκεσθαι τῶν καλῶν· ὅτι γὰρ ἐκείνῳ Ἀλκιβιάδης καὶ Χαρμίδης καὶ Φαῖδρος, τοῦτο τῇ Λεσβίᾳ Γύριννα καὶ Ἀτθὶς καὶ Ἀνακτορία· κ. τ. ἑ. Ὅρα καὶ Ulrici (II, 364) καὶ Kock καὶ λοιπούς. Ἀλλὰ μὴν καὶ περὶ κάλλους τε καὶ ἔρωτος τοὐπίπαν τε καὶ ἐν τοῖς ἐπὶ μέρους πλεῖστον Σαπφὼ Σωκράτει τὰ αὐτὰ δοξάζει τε καὶ ποιεῖ καὶ πάσχει· ὅπου γε Πλάτων μὲν ἐν Φαίδρῳ (250) τὸ κάλλος οὕτως ἐπαινεῖ, θεῖόν τι ὁμοίωμα αὐτὸ εἶναι λέγων, οἷα ἥ τε δικαιοσύνη καὶ ἡ σωφροσύνη καὶ ὅσα ἄλλα τίμια ψυχαῖς, καὶ ὅτι αὐτὸ διὰ τῆς ἐναργεστάτης αἰσθήσεως τῶν

ἡμετέρων καταλαμβάνομεν στίλβον ἐναργέστατα, ὥστε ἐκφανέστατον εἶναι καὶ ἐρασμιώτατον, Σαπφὼ δὲ τοσοῦτον καὶ αὐτὴ περὶ τὸ κάλλος ἐνθουσιᾷ, ἐν μὲν 79ῳ ἀποσπάσματι, ὅπερ ὅρα ἀνωτέρω, λέγουσα, ὅτι φιλεῖ τὸ ζῆν διὰ τὸ καλὸν, ἐν δὲ 76ῳ περικαλλῆ παρθένον ἐπαινοῦσα,

„Εὐμορφοτέρα Μνασιδίκα τᾶς ἀπάλας Γυρίννως·

ἐν δὲ 29ῳ μετὰ θαυμασμοῦ πρὸς τὸν καλὸν λέγουσα νεανίσκον,

„Στᾶθι κἄντα φίλος . . .
καὶ τὰν ἐπ' ὄσσοις ἀμπέτασον χάριν·

ἐν δὲ 85ῳ μητρικῷ ἅμα καὶ τῷ τοῦ καλοῦ ἔρωτι τὸ καλὸν ἐπαινοῦσα θυγάτριον,

„Ἔστι μοι κάλα πάϊς, χρυσίοισιν ἀνθέμοισιν
ἐμφέρην ἔχοισα μόρφαν, Κλῆϊς ἀγαπάτα,
ἀντὶ τᾶς ἔγω οὐδὲ Λυδίαν παῖσαν οὐδ' ἔραννναν . . .

καὶ περὶ μὲν τῆς νύμφης ἐν 100ῳ,

„Μελλίχιος δ' ἐπ' ἱμέρτῳ κέχυται προσώπῳ,

περὶ δὲ τοῦ γαμβροῦ ἐν 104ῳ,

„Τίῳ σ', ὦ φίλε γάμβρε, κάλως ἐϊκάσθω;
ὄρπακι βραδίνῳ σε κάλλιστ' ἐϊκάσδω,

λέγουσα. Ἀλλὰ καὶ Δημήτριος ἡμῖν περὶ τούτου ὁμολογεῖ (de elocut., 166), Σαπφὼ λέγων περὶ μὲν κάλλους ᾄδουσαν καλλιεπῆ εἶναι καὶ ἡδεῖαν, καὶ περὶ ἐρώτων δὲ καὶ ἔαρος . ., καὶ ἅπαν καλὸν ὄνομα ἐνυφάνθαι αὐτῆς τῇ ποιήσει. Ὅρα καὶ Bergk ἐν τρίτῳ (130), ἤτοι ἀπόσπ. 124. Ὅσον δὲ θαυμαστῶς ὁμοῖα ἀμφοτέροις τὰ ἐκ τοῦ ἔρωτος παθήματα. Πλάτων μὲν γὰρ ἐν Φαίδρῳ (251) φησίν· „ὁ δὲ ἀρτιτελής, ὅταν θεοειδὲς πρόσωπον ἴδῃ, κάλλος εὖ μεμιμημένον . ., πρῶτον μὲν ἔφριξε, καί τι τῶν τότε ὑπῆλθεν αὐτὸν δειμάτων, εἶτα προσορῶν ὡς θεὸν σέβεται, καὶ εἰ μὴ δεδιείη τὴν τῆς σφόδρα μανίας δόξαν, θύσοι ἂν ὡς ἀγάλματι καὶ θεῷ τῷ ἐρωμένῳ προσώπῳ· ἰδόντα δὲ αὐτὸν οἷον ἐκ τῆς φρίκης μεταβολή τε καὶ ἱδρὼς καὶ θερμότης ἀήθης λαμβάνει, κ. τ. ἑ., Σαπφὼ δὲ ἐν τῇ δευτέρᾳ σωζομένῃ ᾠδῇ ταὐτὰ σχεδόν τι ἐπαναλαμβάνει, καὶ ὀνόματα ταὐτά, θεός, φρίκη, ἱδρώς, θερμότης κ. λ. κἀνταῦθα ἀπαντῶσι. Περὶ τοῦ καλοῦ τάδε Σαπφώ ἐν 101ῳ λέγει,

„Ὁ μὲν γὰρ κάλος, ὄσσον ἴδην, πέλεται,
ὁ δὲ κἄγαθος αὔτικα καὶ κάλος ἔσσεται·

πρὸς ὃ πολλάκις Πλάτων ἐπάνεισιν, ὡς καὶ Welcker μαρτυρεῖ

(I, 123). Ἔπειτα τὸ παρὰ Πλάτωνι ἐν Συμποσίῳ (203)· Ἔρως τοτὲ μὲν τῆς αὐτῆς ἡμέρας ζῇ, ὅταν εὐπορήσῃ, τοτὲ δ' ἀποθνήσκει, Σαπφὼ ξυλλαβοῦσα λέγει κατὰ Μάξ. Τύριον ἐν Διατριβαῖς (XXIV, 9) γλυκύπικρον καὶ ἀλγεσίδωρον. Προσωτέρω δέ, ὅπερ Ἀλκιβιάδην Σωκράτης λέγει, οὔπω ὥριμον ὄντα εἰς λόγους, αὐτὸ τοῦτο ἡμεῖς γε ἡγούμεθα καὶ Σαπφὼ τὴν Ἀτθίδα εἰπεῖν (34),

„Σμίκρα μοι πάϊς ἔμμεν ἐφαίνεο κἄχαρις.

Ἔπειτα αὐτὰ τὰ ὀνόματα, ἐραστὴς καὶ ἐρᾶν ἁπλουστέρως πολλάκις παρ' ἀμφοτέροις τίθεται· Σαπφὼ μὲν γὰρ τοῦ ῥόδου ἐρᾷ, καὶ στεφανοῖ αὐτὸ ἀεί τινι ἐγκωμίῳ κατὰ Φιλόστρατον (Ἐπιστ., 71), περὶ οὗ ὅρα Bergk ἐν τρίτῳ (135), Ἀριστόδημος δ' ἐν Συμποσίῳ Πλάτωνος ἐραστὴς Σωκράτους λέγεται, πρεσβυτέρου τούτου.

Τὸν ἔρωτα οὖν τοῦτον τὸν Σωκρατικόν, τὸν Οὐράνιον Σαπφὼ θεραπεύουσα, διὰ δὲ τὸ ἐμπαθὲς τῆς φύσεως σφοδρῷ λίαν κατεχομένη τούτῳ, καὶ πρὸς τὴν τῶν παρθένων παίδευσιν ζήλῳ τινὶ ἱερῷ καὶ ἔνθους ἐγκειμένη, ἔγνω διὰ τουτουΐ τοῦ ἔρωτος ἐπαγαγέσθαι τε καὶ περὶ ἑαυτὴν ἰσχυρῶς τὰς ὁμιλητρίας συγκρατῆσαι, τῷ λίαν φιλόφρονι καὶ ἐρωτικῷ αὐτῆς τρόπῳ οὐ ματαίαν, ἀλλὰ δυνατωτάτην τὴν τῶν παρθένων διδασκαλίαν ποιοῦσα, καὶ οὕτω πάσῃ τῇ πρεπώδει σοφίᾳ τε καὶ ἀρετῇ καὶ χάριτι αὐτὰς κοσμοῦσα. Ἀπόλλωνα δὲ καὶ Μούσας τοὺς τῆς Μουσικῆς τε καὶ Ποιήσεως θεοὺς λαμπρῶς θεραπεύουσα, καὶ κατὰ Πλάτωνα ἐν Φαίδρῳ (252), κατὰ τούτους τοὺς θεοὺς ζητοῦσα τὸ ἑαυτῆς ἐρώμενον πεφυκέναι, ἔπειθέ τε καὶ ἐῤῥύθμιζεν εἰς τὸ ἐκείνων ἐπιτήδευμα, οὐ φθόνῳ οὐδ' ἀνελευθέρῳ δυσμενείᾳ χρωμένη, ἀλλ' εἰς ὁμοιότητα τοῖς θεοῖς πᾶσαν πάντως ὅτι μάλιστα ἄγειν πειρωμένη. Ὅτι δὲ πρὸς τὸ τῶν κορασίδων κάλλος ὁ ἔρως αὐτῆς ἐμπαθέστατα τρέπεται, καὶ λέξει πολλάκις πυρώδει ἐκφαίνεται, οὔπω μεμπτέον, ἄν πέρ τις τῶν τε ἄνω εἰρημένων μνημονεύῃ, καὶ Σωκράτην δ' αὐτὸν ὁρῶμεν ἐπὶ τοῦ Χαρμίδου κάλλει σχεδόν τι ἔξω ἑαυτοῦ γιγνόμενον, ὡς Πλάτων ἡμᾶς ἐν Χαρμίδῃ διδάσκει· ὅρα ἐν ἀρχῇ τοῦ διαλόγου. Ὁμολογεῖ ἡμῖν περὶ τούτου διὰ πολλῶν καὶ Kock (44 + 45), ὤφειλε, λέγων, ἡ ποιήτρια τηλικούτῳ καὶ τοιούτῳ πρὸς τὰς μαθητρίας κατέχεσθαι ἔρωτι, καὶ γὰρ Σωκράτης ἄριστον διδάσκαλον τὸν Ἔρωτα λέγει, καὶ βαβαὶ τῷ διδασκάλῳ, ἐπιφωνεῖ, ᾧτινι οὐχ

ὁ ἔρως οὗτος πολύς τε καὶ διακαίων τὴν ψυχὴν ἔνεστιν. Εἰ δὲ παρὰ Σαπφοῖ, ἐμπαθοῦς καὶ πυρώδους τἆλλα φύσεως γυναικί, ὁ ἔρως οὗτος ἐνσωματοῦται καὶ τὰ μάλιστα αἰσθητὸς καθίσταται, οὐδεὶς φθόνος, εἴτις καὶ λογίσαιτο, ὅτι Σαπφὼ Ἑλληνὶς ἦν σφόδρα ἐρωτική, καὶ ταῦτα Λεσβία.

Ἐξέστω δ' ἡμῖν ἤδη καὶ ἀπὸ τῶν σωζομένων τῆς Σαπφικῆς ποιήσεως ἀποσπασμάτων πειρᾶσθαι τὴν εἰκόνα ταύτην τῆς ἐν Μυτιλήνῃ Σχολῆς συμπληροῦν, καλά τινα καί ἐξ ἐκείνων, καὶ ὅσα ἡμῖν τῇ εἰκόνι καλῶς ἐνηρμόσθαι δοκεῖ, εἰς τὸ πλαίσιον εἰσάγοντας. Ἐνταῦθ' οὖν φιλανθρώπου ἔρωτος ἡ διδάσκαλος πλήρης τὰς περὶ ἑαυτὴν κόρας, συνιείσας τε καὶ ἐμπείρως τῶν αὐτῆς βουλευμάτων ἐχούσας, ἔλεγε προσαγορεύουσα (14),

„Ταῖς κάλαις ὔμμιν τὸ νόημα τὦμον
οὐ διάμειπτον.

Ἔρωτα μὲν δεῖ ἐν ὑμῖν κρατεῖν καὶ τοῦ παντὸς κυριεύειν, ἀλλὰ τὸν Οὐρανοῦ καὶ Γῆς υἱόν, τὸν Οὐράνιον (132). Ἐν δὲ τοῖς τρόπους ἐπιχάριτας θέλουσα τὰς παρθένους εἶναι, ταῖς μὲν Χάρισιν ἀνεφώνει (65),

„Βροδοπάχεες ἄγναι Χάριτες, δεῦτε Δίος κόραι,

τὰς περὶ ἐμὲ κατακοσμεῖτε παρθένους. Παραβάλλουσα δὲ πολλαχῶς τοῖς ἄνθεσι τὰς κόρας, ὡς καὶ Neue φησι (89) κατ' Ἀθήναιον, περὶ οὗ ὅρα καὶ Φιλόστρατον παρὰ Bergk ἐν τρίτῳ (135), ἐπιχάριτες μὲν, ἀλλ' ἁγναὶ καὶ ἀθῷαί ἐστε ὡς τὰ ἄνθη, ἔλεγεν αὐταῖς, χαίρουσα μὲν, ὅτι,

„Αὐτὰρ ὀραῖαι στεφανηπλόκευν· **(73)**

ἦρι γαρ ὁμοία ἡ νεότης, τὸ δ' ἔαρ ἀγγέλλει οὐ μὴν

„Ἦρος ἄγγελος ἰμερόφωνος ἀηδών· **(39)**

ἀλλὰ καὶ τἄνθη ἀγγέλλουσι· μιᾷ δὲ τῶν παρθένων κάλλει διαφερούσῃ, καί ἐν χορῷ μετὰ τῶν ἄλλων τοῖς βωμοῖς προσιοῦσαν, τοιαῦτα ᾖδεν ἡ ποιήτρια (78),

„Σὺ δὲ στεφάνοις, ὦ Δίκα, περθέσθ' ἐράταις φόβαισιν,
ὄρπακας ἀνήτοιο συνέρραισ' ἀπάλαισι χερσίν·
εὐάνθεσιν ἐκ γὰρ πέλεται καὶ χάριτος μακαιρᾶν
μᾶλλον προτέρην· ἀστεφανώτοισι δ' ἀπυστρέφονται.

Ἐστεφανωμένας γὰρ ἀείποθ' οὕτω τὰς κόρας τοῖς βωμοῖς προσάγουσα, ἡγεῖτο αὐτὴ τοῦ χοροῦ ῥυθμοῖς τε καὶ ᾄσμασιν· οὕτω γὰρ

διδάσκει ἡμᾶς τἀνώνυμον ἐπίγραμμα, ὅπερ ἀνωτέρω (σελ. 49) ἀνεγράψαμεν,

„Ἔλθετε πρὸς τέμενος γλαυκώπιδος ἀγλαὸν Ἥρης . . .

καὶ τὸ Ἑρμησιάνακτος τοῦτο·

„Καὶ γὰρ τὴν (Σαπφὼ) ὁ μελιχρὸς ἐφωμίλησ' Ἀνακρείων,
στελλομένην πολλαῖς ἄμμιγα Λεσβιάσι . . .

ὅπερ ὅρα πὰρ Ἀθηναίῳ (XIII, 598). Κινεῖτ' ἐμμελῶς τὸν πόδα περὶ τὸν βωμόν ᾖδεν αὐταῖς ἄλλοτε· καὶ γὰρ (54),

„Κρῆσσαί νύ ποτ' ᾠδ' ἐμμελέως πόδεσσιν
ὠρχεῦντ' ἀπάλοις ἀμφ' ἐρόεντα βῶμον,
πόας τέρεν ἄνθος μάλακον μάτεισαι·

ἄλλοτε δὲ νύκτωρ καὶ ὑπὸ σελήνην τοῦτο γίγνεσθαι αὐτὴ ἡμᾶς διδάσκει ἡ ποιήτρια, ἐν 53ᾧ οὕτω λέγουσα,

„Πλήρης μὲν ἐφαίνετ' ἀ σελάννα,
αἱ δ' ὡς περὶ βῶμον ἐστάθησαν.

Ὅρα περὶ τοιούτων καὶ Köchly (183)· Καὶ ταῦτα μὲν ὅτι περὶ ἱερά τινα καὶ βωμοὺς καὶ χοροὺς καὶ ᾠδὰς καὶ στεφάνους οὐκ ἄηθες τάς ἐν τῇ Σχολῇ διατρίβειν παρθένους, τοῦτο σαφῶς δείκνυσιν, ἀλλ' ἔφθημεν ἤδη εἰπόντες, ὅτι καὶ περὶ ἀρετὴν καὶ σοφίαν· διὸ Σαπφώ ἐν ἀποσπάσματι τὴν λίαν σοφὴν αὐτῆς ἐπαινεῖ ὁμιλήτριαν, οὕτω λέγουσα (69),

„Οὐδ' ἴαν δοκίμοιμι προσίδοισαν φάος ἀλίω
ἔσσεσθαι σοφίαν πάρθενον εἰς οὐδένα πω χρόνον
τοιαύταν.

Οὕτω παρὰ Σαπφοῖ πολλὰ μὲν ἄν τις ἀρετῆς καὶ σωφροσύνης, πολλὰ δὲ καὶ σοφίας ἐπιδεῖξαι ἔχει πλήρη παραγγέλματα, ἡ δὲ διδάσκαλος καίπερ σφόδρα τὰς ἑαυτῆς φιλοῦσα ὁμιλητρίας, ἀλλὰ τοῦ καθήκοντος οὐκ ἐπιλανθανομένη, ἐπιτιμῶσά τε ἦν αὐταῖς, καὶ τὰ μομφῆς μεμφομένη ἄξια, ἐς τοῦτό τε ἀναφέρεσθαί φαμεν ἡμεῖς τὸ τοῦ Ὁρατίου (II, 13),

„Et Aeoliis fidibus querentem
Sappho puellis de popularibus. —
„Σκιδναμένας ἐν στήθεσιν ὄργας,
μαψυλάκαν γλῶσσαν πεφύλαχθαι, (27)

ἔλεγε πρὸς ἀθυρόστομον ἐν ὀργῇ κορασίδα·

„Ἀλλά μὴ μεγαλύνεο δακτυλίω πέρι, (35)

ἑτέρᾳ τῷ κόσμῳ ἐγκαλλωπιζομένῃ ἔλεγε· θυμουμένη δέ πως πρὸς ἑτέραν ἐπιβλαβῆ καὶ κακότροπον ἔλεγε κόρην (77),

„ἀσαροτέρας οὐδαμ' ἐπ', ὦ Ἴραννα, σέθεν τύχοισα.

Ὅτι δὲ δύω πλήρη ἦν αὐτῆς βιβλία ἠθικῶν καὶ σοφῶν παραγγελμάτων εἴρηται μεν ἡμῖν ἀνωτέρω, ὅρα δὲ καὶ Köchly περὶ τούτου (185), οὕτω λέγοντα· „ὅτι Σαπφὼ ἐπὶ πᾶν καλόν, ἀληθὲς καὶ ἀγαθὸν προῆγε τὰς κόρας, καὶ ταῖς τούτων μελέταις καὶ ἀσκήσεσι διάνοιάν τε καὶ θυμὸν ἐξέτρεφε, σπουδῇ καὶ πολλῇ τινι εὐαισθησίᾳ τοῦ ἔργου αὐτῆς ἐπιλαβομένη, αἱ πολλαὶ δεικνύασι γνῶμαί τε καὶ ὑποθῆκαι, αἱ τοῖς σωζομένοις ἀποσπάσμασιν ἐγκατεσπαρμέναι. Ἀλλ' ὡς τοῦ περὶ Σχολῆς λόγου ἀρχόμενοι ἔφημεν, Σαπφὼ οὐκ ἀνάξιον ἑαυτῆς οὐδ' ἀνελεύθερον ἡγουμένη καὶ ἔργα τινὰ τοῦ οἴκου κατώτερα λογιζόμενα, καὶ ταῦτα τὰς μαθητρίας διδάσκειν, λέγει μὲν κατὰ Φώτιον (81, 12) καὶ ἄλλους, τίνι τρόπῳ τῇ Θάψῳ, τῷ Σκυθικῷ ξύλῳ, τὰ ἔρια καὶ τὰς τρίχας ξανθίζουσι, περὶ οὗ ὅρα καὶ Bergk (III, 138), οἶδέ τε θαυμάζειν καὶ ἐπαινεῖν τὰ Φωκαϊκὰ χειρόμακτρα (44),

„Χειρόμακτρα δὲ καγγόνων
πορφυρᾶ . . . . .
καὶ ταῦτα μὲν ἀτιμάσεις,
ἔπεμψ' ἀπὺ Φωκάας
δῶρα τίμια καγγόνων,

καὶ τὸν ποικίλον μάσθλητα, ὅς·

„ . . . πόδας δὲ
ποίκιλος μάσλης ἐκάλυπτε, Λύδι-
ον κάλον ἔργον· (19)

καὶ τὰ ποικίλως κεχρωσμένα ὑφάσματα,

„ . . παντοδάπαις μεμιγμέ-
να χροΐαισιν· (20)

καὶ ὅσα τοιαῦτα διδάσκειν τὰς κόρας· ὅρα περὶ τούτων καὶ Köchly (187). Ταῦτα πάντα διδάσκουσά τε καὶ ἀσκοῦσα ἡ ποιήτρια, καλῶς ἑαυτῇ τά τε πραττόμενα συνῄδει καὶ τὴν ἀρετὴν καὶ δύναμιν πρὸς τὴν τῶν παρθένων παίδευσιν, καὶ ἦν ἐπὶ τούτῳ σεμνυνομένη τε, καὶ τῆς εἰς τὸ μετέπειτα δόξης ἐμφανῶς ἀντιποιουμένη, ὡς τὸ 32ον δείκνυσιν ἀπόσπασμα. Τούτου ἕνεκα καί περ πολὺ τοὐπιεικὲς καὶ πρᾶον ἔχουσα, ὡς αὐτὴ περὶ ἑαυτῆς λέγει ἐν 72ῳ,

„. . . Ἀλλά τις οὐκ ἔμμι παλιγκότων
ὄργαν, ἀλλ' ἀβάκην τὰν φρέν' ἔχω . . .,

παθητικὴ μέντοι λίαν τὴν ψυχὴν καὶ εὐπαρόξυντος, εἴπερ τοὺς ἄλλους ἑώρα τῶν αὐτῆς βουλευμάτων καὶ τῆς ἐν τῇ Σχολῇ ἀρετῆς ἁμαρτάνοντας, καὶ μὴ ἐπιγιγνώσκοντας, τὴν ἑαυτῆς ἐξέφαινε δυσαρέστησιν, ἐν μαλακοῖς μέντοι λόγοις καὶ αἰτίαις ἐρωτικῷ τῳ τρόπῳ διαθρυπτούσαις, καὶ δὴ πρὸς τὰς ἀπολιμπανούσας αὐτὴν μαθητρίας, οὐ πρὸς τοὺς γονεῖς· καὶ γὰρ ἐκείνων ἐβούλετο τῷ ἔρωτι ἄρχειν, καὶ οὕτω παιδαγωγεῖν αὐτάς, ἔστι δ' οἷς καὶ ἐμέμφετο εὐεργετηθεῖσι μὲν ὑπ' αὐτῆς, ἀχαριστοῦσι δὲ καὶ βλάπτουσιν, ὡς τὸ 12ον διδάσκει ἀπόσπασμα,

„. . . Ὄττινας γὰρ
εὖ θέω, κῆνοί με μάλιστα σίννονται·

καὶ πρὸς ταῦτα δ' ἔτι δοκεῖ ἡμῖν λόγον τινά ἔχειν τὸ Ὁρατίου: querentem puellis de popularibus, οὗπερ ἀνωτέρω ἐμνημονεύσαμεν. Οὕτως (33),

„Ἠράμαν μὲν ἔγω σέθεν, Ἄτθι, πάλαι πότα,

λέγει ποτὲ πρὸς κόρην τὸ μὲν εἶδος καλλίστην καί ἐξ οἴκου πιθανώτατα λίαν ἐπιφανοῦς ὁρμωμένην, παραπεισθεῖσαν δὲ ὑφ' ἑτέρας διδασκάλου, Σαπφοῖ οὐ φιλίως διακειμένης, καὶ τῇ Σχολῇ ἐκείνης προσελθοῦσαν,

„Ἄτθι, σοί δ' ἔμεθεν μὲν ἀπήχθετο
φροντίσδην, ἐπὶ δ' Ἀνδρομέδαν πότῃ. (41)
Ἔχει δ' Ἀνδρομέδα κάλαν ἀμοίβαν, (58)

ἤτοι τὰς τοῦ οἴκου τιμὰς καὶ δωρήματα· τὸ γὰρ τῶν Μυτιληναίων φιλότιμόν τε καὶ πρὸς τὰς Μούσας ἐλευθέριον καὶ διὰ παντὸς μὲν τοῦ χρόνου πολύ τι γενόμενον φαίνεται, καὶ νῦν δ' ἔτι αὐτοὶ πλείστων γε τιμῶν καὶ δώρων δ' οὐ πάνυ γλίσχρων τοὺς τῶν τέκνων ἀξιοῦσι διδασκάλους, καὶ πεῖραν αὐτοὶ τοῦ πράγματος οὐ σμικρὰν ἔχομεν. Τοῦτο τὸ, ἀμοιβάν, οὐ τὰ τῶν πονηρῶν παραλελογισμένα καὶ φαῦλα ἐκεῖνα, περὶ ὧν ἐν τῷ Γ'. κεφαλαίῳ. Ἀλλὰ ποία τις ὅμως ἡ Σαπφοῦς αὕτη ἀντίτεχνος Ἀνδρομέδα; Τοῦτο διδάσκει ἡμᾶς αὐτή ἡ ποιήτρια, πρὸς Ἀτθίδα λέγουσα (70),

„Τίς δ' ἀγροιῶτίς τοι θέλγει νόον,
οὐκ ἐπισταμένα τὰ βράκε' ἕλκην ἐπὶ τῶν σφύρων;

μομφὴ αὕτη τρανῶς μαρτυροῦσα, ὅσον Σαπφὼ τὸ λίαν φιλόκαλον

καὶ τοῖς τρόποις κόσμιον ἐν τῇ ἑαυτῆς Σχολῇ ἐπετήδευέ τε καὶ ἤσκει. Περὶ δὲ τῶν ἀντιτέχνων Σαπφοῖ διδάσκει ἡμᾶς καὶ Μάξ. Τύριος ἐν Διατριβαῖς (XXIV) λέγων· „ὅ,τιπερ Σωκράτει οἱ ἀντίτεχνοι, Πρόδικος καὶ Γοργίας καὶ Πρωταγόρας, τοῦτο τῇ Σαπφοῖ Γοργὼ καὶ Ἀνδρομέδα· νῦν μὲν ἐπιτιμᾷ ταύταις, νῦν δ' ἐλέγχει καὶ εἰρωνεύεται αὐτὰ ἐκεῖνα τὰ Σωκράτους.

Τοιαῦτ' οὖν ἄττα ἐν τῇ ἑαυτῆς διετέλει Σχολῇ Σαπφὼ πράττουσα· ὅτι δ' ἡ ἐνταῦθα παιδεία ταχέως πάνυ ἐξετελεῖτό τε καὶ προήγετο ἔν τε τῇ Μουσικῇ καὶ Ποιήσει, ἔν τε τῇ καθόλου σοφίᾳ καὶ πάσῃ γυναικείᾳ ἀρετῇ, μαρτύριον τούτου τρανότατον Ἤριννα ἡ Σαπφοῦς ὁμιλήτρια, ἥπερ ἐννεακαιδεκέτις θανοῦσα, δόξης μετέσχε ποιητικῆς οὐ τῆς τυχούσης· ὅρα περὶ τούτου καὶ Bernardy (I, 618). Ὅτι δ' αὕτη Σαπφοῦς ἦν ὁμιλήτρια, καὶ τῇ Αἰολικῇ ἀνῆκε Σχολῇ, πολλοῖς ἐστι τεκμηριῶσαι. Αἰολικῇ μὲν γὰρ χρῆται μᾶλλον διαλέκτῳ, τὸ δὲ τῆς ποιήσεως αὐτῆς ἦθος, ὡς τὸ Σαπφοῦς, μελαγχολίας τινὸς μετέχον φαίνεται, ἑταίρας δέ, ὡς ἐκείνη, καλεῖ τὰς περὶ ἑαυτήν, ὡς ἐν τῷ πρὸς πομπίλον ἐν Ἠλακάτῃ παρὰ Bergk (1), καὶ οἱ πολλοὶ δὲ τῶν νεωτέρων Κριτικῶν οὕτω περὶ αὐτῆς γιγνώσκουσιν, ὡς Welcker (II, 146) Βαυκίδος μὲν πολίτιδα, Σαπφοῦς δὲ ὁμιλήτριαν καὶ πολὺν ἐν Λέσβῳ διαγαγοῦσαν χρόνον, οὕτως ἀποδέχεται, καὶ ἐκ τοῦ εἰς Ἀγαθαρχίδα ἐπιγράμματος (4), τοῦ περὶ Προμηθέως λέγοντος, τοῦτο τεκμαιρόμενος. Οὕτως Ulrici (II, 370) αὐτήν τε καὶ Δαμοφίλην Σαπφοῦς ὁμιλητρίας λέγει, καὶ Köchly δὲ ἐν τοῖς περὶ Σαπφοῦς καὶ Flach (II, 521). Ἄδικα δὲ ποιῶν Richter Ἤρινναν πειρᾶται οὐχ ὅπως ὁμιλήτριαν, ἀλλ' οὐδὲ σύγχρονον οὖσαν δεικνύναι Σαπφοῦς (63 + 65), καὶ ταῦτα Εὐσταθίου τε καὶ Σουΐδα καὶ ἄλλων τἀναντία λεγόντων. Δαμοφίλη δέ ἐκ Παμφυλίας τὸ γένος ἔχουσα, καὶ Σαπφοῦς ὁμιλήτρια γενομένη, Σχολὴν ὕστερον κατὰ τὸν τῆς διδασκάλου τρόπον ἐν τῇ πατρίδι ἱδρύσατο, περί ἧς Φιλόστρατος ἐν βίῳ Ἀπολλωνίου φησί (1, 30), παρθένους τε ὁμιλητρίας κτήσασθαι, ποιήματά τε ξυνθεῖναι, ἄλλα τε καὶ εἰς Περγαίαν Ἄρτεμιν. Ὅρα περὶ τούτων Flach τε (II, 522) καὶ Bernardy (II, 675).

Οὕτω Σαπφοῖ, ἔτη ἤδη οὐκ ὀλίγα λαμπρῶς τῆς Σχολῆς ἡγησαμένῃ, καὶ εἰς ἀκμὴν δόξης αὐτὴν προαγαγούσῃ, ἐμπίπτει

αἴφνης ὁ ἀτυχὴς καὶ δύσερως ἐκεῖνος πρὸς ἄνδρα συμπολίτην ἔρως, ὃς τοσαῦτα πράγματα παρέσχεν αὐτῇ, λύπας τε καὶ ἕτερα παθήματα, τέλος δέ μετ' ἄλλων αἰτίων καὶ τὴν ἐκ τῆς πατρίδος φυγήν. Δοκεῖ μέντοι, ὡς ἐκ πολλῶν ἐστιν εἰκάσαι, τὸν Ἔρωτα τοῦτον Σαπφὼ θερμότατα, εὐτυχοῦντα τὸ κατ' ἀρχάς, πολὺν ᾆσαι χρόνον, καὶ πολλὰς ὑπ' ἐκείνης ᾠδὰς ἐπὶ τῷ ἔρωτι πεποιῆσθαι τούτῳ. Καὶ εὐτυχοῦντος μὲν αὐτοῦ, ἐπῄνει τε καὶ ἐθαύμαζε τὸ τοῦ ἐραστοῦ κάλλος, καὶ τῷ σελήνης κάλλει πρὸς τὸ τῶν ἄστρων παρέβαλλε λέγουσα,

„Ἄστερες μὲν ἀμφὶ κάλαν σελάνναν
αἶψ' ἀπυκρύπτοισι φάεννον εἶδος,
ὄππποτα πλήθοισα μάλιστα λάμπῃ
γᾶν ἀργυρία. (3)

οὕτω τὸ σὸν ὑπὲρ πᾶν ἄλλο λάμπει κάλλος, καί,

„Στᾶθι κἄντα φίλος . . . .
καὶ τὰν ἐπ' ὄσσοις ἀμπέτασον χάριν, (29)

καὶ γάρ,

„Καὶ ποθήω καὶ μάομαι (23)

ἀεὶ παρὰ σοὶ μένειν, καὶ ἄλλα, ὅσα τοιαῦτα. Δυστυχοῦντος δὲ ἐκείνου, καὶ τοῦ ἐραστοῦ ὑπερφρονοῦντος αὐτῆς καὶ ἀπολείποντος, ἐδάκνετο μὲν τὴν ψυχὴν ὑπὸ λύπης σφόδρα καὶ ἀνίας, χαλεπῶς δὲ πάνυ τὴν ἐκείνου ὕβριν φέρουσα καὶ ὑπεροψίαν, Μουσικῇ ἐζήτει τὸ ἄλγος πραΰνειν καὶ ᾄσμασι τὸν ἔρωτα ἰᾶσθαι, ὥς φησι Πλούταρχος ἐν Ἐρωτικῷ (c. 18) κατὰ Φιλόξενον· „μούσαις εὐφώνοις ἰωμένη τὸν ἔρωτα. Πιθανὸν δὲ πάνυ, ὅτι τῷ ἔρωτι τούτῳ ἤδη ὅλως προσέχουσα τὸν νοῦν, ἠμέλει μέν πως ἑαυτῆς καὶ τῶν ἄλλων, ἀπηλλάττετο δὲ τῶν συνήθων διατριβῶν, οὐδὲ συχνόν ἔτι τῷ θιάσῳ προσεφοίτα, καὶ ἀπραγμοσύνῃ τινὶ κατὰ μικρὸν περιέπιπτεν, εἰς ἅπερ ταῦτα κατατείνεσθαι δοκεῖ καὶ τὰ Ὀβιδίου ἐν Ἡρωΐδι 15ῃ (73—78),

Ecce, jacent collo sparsi sine lege capilli,
nec premit articulos lucida gemma meos,
veste tegor vili, nullum est in crinibus aurum,
non Arabum noster rore capillus olet. . . .

Ἐφ' ἑαυτῆς δὲ τὰ πολλὰ οὖσα, τὸν δυσέρωτα ἐκεῖνον διετέλει ᾄδουσα ἔρωτα.

„Ἔμεθεν δ' ἔχεισθα λάθαν, (21)

ἦδε μακρόθεν πρὸς τὸν ἐραστήν.

„. . Ἤ τιν' ἄλλον
μᾶλλον ἀνθρώπων ἔμεθεν φίλησθα; (22)

τίς μέντοι καὶ φιλήσειέ σε μᾶλλον ἢ 'γώ: Μεμνημένη δέ ποτε τῆς πάλαι εὐδαιμονίας τῆς κατὰ τὸν ἔρωτα τοῦτον, τῆς τ' αἱμύλου φιλοφροσύνης καὶ τῶν κατασπασμῶν, καὶ εἴτινος ἄλλης ἐρωτικῆς ἡδυπαθείας, τὴν δὲ νῦν ὁρῶσα στέρησιν, Ἀφροδίτην ἐπεκαλεῖτο καὶ ἱκέτευεν, ἀρωγὸν αὐτῇ παραγίγνεσθαι καὶ τῶν μεριμνῶν καὶ τῆς ἀνίας λύειν, ἐν τῇ πρώτῃ ταῦτα θαυμασίᾳ ᾠδῇ, τῇ μόνῃ ὅλη ἄχρις ἡμῶν περισωθείσῃ, οὕτω λαμπρῶς καὶ περιπαθῶς ᾄδουσα,

„Ποικιλόθρον', ἀθάνατ' Ἀφρόδιτα,
παῖ Δίος, δολόπλοκε, λίσσομαί σε,
μή μ' ἄσαισι μήτ' ὀνίαισι δάμνα,
πόντια, θῦμον·

ἀλλὰ τυῖδ' ἔλθ', αἴποτα κἀτέρωτα
τὰς ἔμας αὔδως ἀΐοισα πήλυι
ἔκλυες, πάτρος δὲ δόμον λίποισα
χρύσιον ἦλθες

ἄρμ' ὑπαζεύξαισα· κάλοι δέ σ' ἆγον
ὤκεες στροῦθοι περὶ γᾶς μελαίνας
πύκνα δινεῦντες πτέρ' ἀπ' ὠράνω αἴθε-
ρος διὰ μέσσω.

αἶψα δ' ἐξίκοντο· τὺ δ', ὦ μάκαιρα,
μειδιάσαισ' ἀθανάτῳ προσώπῳ,
ἤρε', ὄττι δηὖτε πέπονθα, κὤττι
δηὖτε κάλημι,

κὤττι μοι μάλιστα θέλω γένεσθαι
μαινόλᾳ θύμῳ· τίνα δηὖτε Πείθω
μαῖς ἄγην ἐς σὰν φιλότατα; τίς σ', ὦ
Ψάπφ', ἀδικήει;

καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει,
αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει,
αἰ δὲ μὴ φίλει, ταχέως φιλήσει
κωὐκ ἐθέλοισαν.

ἔλθε μοι καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
ἐκ μεριμνᾶν, ὄσσα δέ μοι τέλεσσαι
θῦμος ἰμέρρει, τέλεσον· σὺ δ' αὔτα
σύμμαχος ἔσσο."

„Σοὶ δ' ἔγω λεύκας ἐπὶ βῶμον αἶγος (7)

οἴσω τότε θυσίαν, καὶ τὰ τοιαῦτα προστιθεῖσα. Ἀλλ' ὅτε δὴ ὁριστικῶς ἤδη καὶ ἀμετακλήτως ὁ ἐραστὴς ἀπέστη τε καὶ κατεφρόνησεν αὐτῆς, ἑτέρῳ δ' ἐξέδωκεν ἑαυτὸν ἔρωτι, ὅτε οἱ νέοι ἐρασταὶ καὶ εἰς ἐπίδειξιν αὐτῇ τὸν ἔρωτα ἤσκουν, χαριεντιζόμενοι καὶ λόγοις τε καὶ τρόποις ἐρωτικοῖς πρὸ τῶν ἐκείνης ὀφθαλμῶν ἡδυπαθοῦντες, τότε δὴ αὐτὴ διττοῖς ἐξεκαίετο καὶ κατηναλίσκετο παθήμασιν, ἔρωτι ἅμα καὶ ζηλοτυπίᾳ, δεινοῖς ἀμφοτέροις τὴν εὐπαρόξυντον καὶ παθητικὴν λίαν αὐτῆς ἀπολέσαι ψυχήν· ἀλλ' ἀγαθῆς καὶ πραείας ἐκείνη φύσεως οὖσα, οὐ πρὸς λοιδορίας καὶ ἄλλα κατὰ τοῦ ἀδικοῦντος ἐραστοῦ τρέπεται κακά, οὐ πρὸς ἔχθρας καὶ φθόνους πρὸς τὴν ἐρωμένην κόρην· ἀλλά ποτε ἐξ ἐναντίας αὐτῆς ἄμφω καθεζομένων, ἐπαινεῖ τὸ πρῶτον καὶ ὡς θεόν τινα θαυμάζει τὸν πάλαι ἐρώμενον, εὐδαιμονίζει ἔπειτα τὰ αὐτῶν ἐρωτικὰ χαριεντίσματα, ἐκχεῖται δὲ πάραυτα εἰς πλήμμυραν πυρίνης καὶ τηκούσης ἐκφράσεως, ὡς ἀπὸ διστόμου κρατῆρος ἔρωτός τε καὶ ζηλοτυπίας ἐκβραζομένης, μετὰ τοσούτου πάθους ἅμα καὶ λεπτότητος, οἵα οὐδέποτε γυνὴ ἐξέφηνεν ἐρῶσα, καὶ εἰσὶ ταῦτα ἡ δευτέρα ἄχρις ἡμῶν περισωθεῖσα ᾠδή,

„Φαίνεταί μοι κῆνος ἴσος θέοισιν
ἔμμεν ὤνηρ, ὅστις ἐναντίος τοι
ἰζάνει, καὶ πλασίον ἆδυ φωνεύ-
σας ὑπακούει

καὶ γελαίσας ἰμερόεν, τό μοι μὰν
καρδίαν ἐν στήθεσιν ἐπτόασεν·
ὡς γὰρ εὔιδον βροχέως σε, φώνας
οὐδὲν ἔτ' εἴκει·

ἀλλὰ καμ μὲν γλῶσσα ἔαγε, λέπτον δ'
αὔτικα χρῷ πῦρ ὑπαδεδρόμακεν,
ὀππάτεσσι δ' οὐδὲν ὄρημ', ἐπιρρόμ-
βεισι δ' ἄκουαι.

ἀ δὲ μίδρως κακχέεται, τρόμος δὲ
παῖσαν ἄγρει, χλωροτέρα δὲ ποίας
ἔμμι, τεθνάκην δ' ὀλίγω πιδεύης
φαίνομαι ἄλλα·

ἀλλὰ πᾶν τόλματον, (ἐπεὶ καὶ πέννητα)."

Ὡς οὖν ἐκ τῶν λεγομένων εἰκάσαι πάρεστι, Σαπφὼ ἡμεῖς ἀποδεχόμεθα ἀνδρός τινος περικαλλοῦς σφόδρα ἐρασθῆναι, καὶ τὸν ἔρωτα τοῦτον εὐτυχοῦντά τε καὶ δυστυχοῦντα ἐμπαθέστατα ᾆσαι, καὶ ταῦτα ἐν ἀκμῇ δόξης οὖσαν, καὶ περὶ τούτου κείσθω ἡμῖν τὰ ἑξῆς ταῦτα.

Ἀναγκαίως καὶ ἀπολύτως ἀποδεκτέα ἡμῖν τὰ τοῦ σφοδροῦ τούτου πρὸς ἄνδρα ἔρωτος, καὶ δὴ διὰ τοῦτο πρῶτον, ὅτι φύσις οὕτω θερμή, πρὸς δὲ τὸ καλὸν λίαν εὐαισθήτως ἔχουσα, οἵα ἡ Σαπφοῦς, διούσης τὸ παράπαν ἐν ὁμίλοις ἔρωτα καὶ ἡδυπάθειαν ἀποπνέουσιν, οἷοί περ οἱ τῶν ἐν Μυτιλήνῃ γυναικῶν θίασοι, πῶς ἄν ποτ' ἀποσταίη ὅλως τοῦ ἔρωτος; ἡ ὑπὲρ πᾶσαν ἄλλην ἐρωτικὴ αὕτη γυνή; Δεύτερον τουτονὶ ἐπάγοιμεν ἂν πιθανώτατον λόγον. Οἱ ἐν Ἀθήναις Κωμικοὶ πολλοὺς ἐκείνῃ ἀποδεδώκασιν ἀνδρῶν ἔρωτας, Ἀριστοτέλης δ' ὁ φιλόσοφος καὶ ἄλλοι καὶ τὸν Ἀλκαίου, δῆλον ὅτι ἔκ τε τῆς ποιήσεως αὐτῆς καὶ ἀκοῇ λαβόντες καὶ πλάσαντες τὰς ἀφορμάς, πιθανότητι μέν τινι τὸν Ἀλκαίου καὶ Ἀνακρέοντος, ἀπιθάνως δὲ λίαν τὸν Ἀρχιλόχου καὶ Ἱππώνακτος, περὶ ὧν ὅρα Ἀθήναιον (XIII, 599), καὶ δὴ κύριον τὸν τοῦ πολυλαλήτου Φάωνος, ὃς παρ' ἡμῖν κριταῖς τὸν ἀληθῆ ἐγκρύπτει ἐραστήν. Ἀλλ' οὐδ' ἂν ἠγείρετο τὸ παράπαν τοσαύτη ἐρώτων ζάλη καὶ καταιγίς, εἴπερ Σαπφὼ τοὺς ἀνδρικοὺς ἐμυσάττετο ἔρωτας, ὥς περ Bergk φησιν ἐν τῇ τῶν λυρικῶν ποιητῶν ἐκδόσει (III, 86). Ὁμολογοῦσιν ἡμῖν περὶ τούτου Ὁράτιος καὶ Πλούταρχος, ὡς ἔφθημεν εἰπόντες, πυρώδεις λέγοντες τὰς Σαπφοῦς ᾠδάς, καὶ πολλῷ τῆς ψυχῆς σάλῳ ἐκφερομένας, ὧν ὁ μὲν Λατῖνος ποιητὴς ταῦτα ἐν τετάρτῳ (9) ᾄδει,

„ . . . Spirat adhuc amor
vivuntque commissi calores
Aeoliae fidibus puellae.

Πλούταρχος δὲ ἐν Ἐρωτικῷ (18) θεοληψίαν καταφανῆ καὶ δαιμόνιον τῆς ψυχῆς σάλον ἐν τῇ δευτέρᾳ ταύτῃ ᾠδῇ βλέπει· καὶ γὰρ οἱ ἐπιφανέστατοι τῶν Κριτικῶν οὕτως ἐκλαμβάνουσι τὰ χωρία ταῦτα, Welcker τε ἐν πρώτῳ (113) καὶ Flach ἐν δευτέρῳ (446) καὶ Neue, κ. λ. Φωρᾶταί γε μὴν Welcker ἐναντιολογῶν πως ἑαυτῷ ἐν δευτέρῳ (99), ἔνθα ἐξ Ὁρατίου καὶ Ὀβιδίου ἀποδεκτέον λέγει

εἶναι, τὸ Αἰολικὸν πῦρ, ἐφ' ᾧ τὰ ἐρωτικὰ Σαπφοῦς θαυμάζεται, τοῖς πρὸς νεάνιδας ἀποδοτέον ποιήμασιν· ὅρα καὶ V, (231). Λέγει προσωτέρω περὶ Φάωνος ἀπὸ τοῦ προφανοῦς οὕτω καὶ ἀναπεπταμένως Ὀβίδιος ἐν 15ῃ Ἡρωΐδι, περὶ ἧς ἐν τρίτῳ κεφαλαίῳ ἔσται ἡμῖν ὁ λόγος· τῆς δὲ Ἐρεσίας οὐδ' ὑπαρχούσης τὸ παράπαν καὶ οἱ χωρίζοντες, Ἀθήναιός τε καὶ Σουΐδας καὶ οἱ λοιποί· ὡς δ' αὔτως Παλαίφατος (de incredibil., 49) καὶ Ἀποστόλιος συγκολλῶν τὰ ἀλλήλοις ἀντιμαχόμενα Σουΐδα καὶ Παλαιφάτου. Τῶν δὲ νεωτέρων Κριτικῶν οἱ πλεῖστοι, καὶ οὗτοι τῶν ἐπιφανῶν, ἀληθῆ τὸν ἔρωτα ἀποδέχονται, ὡς Welcker ἐν δευτέρῳ (113) καὶ ἀλλαχοῦ, ὃς καὶ τὴν πρώτην ἐκ τῶν σωζομένων ᾠδῶν τῷ ἔρωτι τούτῳ ἀποδίδωσι καὶ ἑτέρας ἀπολεσθείσας (IV, 68), καὶ Neue καὶ Flach, ὡς ἀνωτέρω εἴδομεν, καὶ Plehn (168). Richter δὲ καίπερ ἀναμφηρίστως τὸ πρῶτον τὸν πρὸς Φάων' ἀποδεχόμενος ἔρωτα (15+16), ἔπειτα μέντοι προσκόπτων τοῖς παρ' Ἀθηναίῳ ἀναγιγνωσκομένοις οὐκ εὐλόγως, τόν τε Φάωνα καὶ τὸ ἅλμα τῇ Κωμῳδίᾳ ἀποδοτέα λέγει (17). Ἀλλὰ περὶ τῶν ἀποδιδόντων Φάωνα τῇ Ἐρεσίᾳ Σαπφοῖ, Νύμφιδός τε καὶ Ἀθηναίου καὶ λοιπῶν, ἁπλῶς τοῦτο εἰρήσθω καὶ μόνον, ὅτι αὐτοὶ μὲν ἀπαλλάξαι πειρῶνται Σαπφὼ τῶν ἐκ τῆς Κωμῳδίας ἐραστῶν τε καὶ ἄλλων διαβολῶν, τὸ δὲ Φάωνος ὄνομα, ὡς ἐραστοῦ Σαπφοῦς, παντάπασιν οὐκ ἐνῆν τοῖς ἐκείνης ποιήμασιν, ἢ τὸ μέγιστον ἐν παρέργου μόνον μέρει τὸ περὶ ἐκεῖνον πεποιημένον μύθευμα, ὡς δὲ τοιοῦτον ἥ τε Παράδοσις παρεῖχεν αὐτὸ καὶ ἡ Κωμῳδία. Μῦθον ἄρ' ἡμεῖς ἡγούμεθα τὰ περὶ Φάωνα τὸν καλὸν πεπλασμένα, καὶ οὐδὲν τὸ ἔργῳ κοινὸν τῇ περὶ Σαπφοῦς ἱστορίᾳ ἔχοντα· ἀλλότρια δ' ἄμφω ἀλλήλων ταῦτα ὄντα, τῇ τε φύσει καὶ τοῖς χρόνοις, ἐν τῷ αὐτῷ γε μὴν τόπῳ ὑφιστάμενα, ἥνωσαν διὰ τὰς ἑαυτῶν χρείας οἱ ἐν Ἀθήναις Κωμικοί, τάχα δὲ καὶ ἡ πρὸ αὐτῶν Παράδοσις. Τὸ Φάωνος ὄνομα, ὡς ἐραστοῦ Σαπφοῦς, τοῖς ἐκείνης ποιήμασι διὰ τὸν πρῶτον τοῦτον καὶ κύριον λόγον οὐκ ἐνῆν, ὅτι δυσχερῶς ἂν οὕτως οἵ τε Ἀλεξανδρινοὶ καὶ οἱ μετέπειτα τῇ ἑτέρᾳ αὐτὸν ἀπέδωκαν. Πιθανόν, ὡς ἔφημεν, τοῦ περὶ Φάωνος μυθεύματος Σαπφὼ ἐν ᾠδῇ τινι ἐπιλαβέσθαι, ἀλλὰ τὰς πολλὰς περὶ τούτου τερατείας τε καὶ τὰ τῶν Κωμικῶν παράδοξα, ταῦτα ἐκεῖνοι ἀλλότρια ὅλως Σαπφοῦς ἡγοῦντο. Δευτέρῳ

δὲ τούτῳ χρήσαιτ' ἄν τις τεκμηρίῳ· συγγραφεῖς γὰρ ἀρχαῖοι καὶ τῶν ἐπισήμων, πάντως τὴν ἐκείνης ἀναγνοῦντες ποίησιν, οὐδὲν περὶ τοῦ ἔρωτος τούτου γιγνώσκουσιν· Ἡρόδοτος μὲν γὰρ περὶ Σαπφοῦς λέγων ἐν δευτέρᾳ (135), οὐδαμῶς Φάωνος μνημονεύει, καίπερ ἄλλως ἀσμενίζων ἐπὶ τοιούτοις μυθεύμασι, Λουκιανός δ' ὁ τοσοῦτον ἡδέως παραδοξολογῶν, καὶ εὐφυῶς θεῖά τε καὶ ἀνθρώπινα σκώπτων, δὶς τοῦ περὶ Φάωνα μύθου μνημονεύων ἔν τε Νεκρικοῖς διαλόγοις (9, 2), ἔνθα Σιμύλος τὸν Πολύστρατον ἐρωτᾷ· „μῶν καὶ σύ τινα ὥςπερ ὁ Φάων ἐκ Χίου διεπόρθμευσας, εἶτά σοι εὐξαμένῳ ἔδωκε νέον εἶναι καὶ καλὸν ἐξ ὑπαρχῆς καὶ ἀξιέραστον; . . . καὶ ἐν Πλοίῳ ἢ Εὐχαῖς (43), ἔνθα εὔχεταί τις δακτύλιον ἔχειν θαυμάσια ποιοῦντα, καὶ δὴ ἕνα τὸν ἥδιστον, ὡς ἐράσμιον εἶναι αὐτὸν περιθέμενον πρὸς τοῖς παισὶ τοῖς ὡραίοις καὶ γυναιξίν, ... καὶ ὅλως ὑπὲρ τὸν Ὑάκινθον ἢ Ὕλαν ἢ Φάωνα τὸν Χίον εἶναι αὐτόν· οὐδέν οὐχ ἧττον περὶ Σαπφοῦς ἐνταῦθα λέγει ῥῆμα, πάντως ὀφείλων· οὐ γὰρ ἄτοπον, οὐδὲ τοῦ τρόπου τοῦ συγγραφέως ἀπᾷδον καὶ διεστῶτα ἑνοῦν ταῦτα, οὐχ ὅπως τὴν οὖσαν παραλείπειν ἕνωσιν. Εἰρήσθω δὲ καὶ τοῦτο, ὅτι Χῖον αὐτὸν Λουκιανὸς λέγει, οὐ Λέσβιον, ὡς Σέρβιος καὶ ἄλλοι· τεκμήριον, ὅτι ἀλλότριος μὲν Σαπφοῦς ὁ μῦθος, ἀμφοῖν δὲ ταῖν νήσοιν ἐγχώριος. Ὁράτιος δ' ὁ Ῥωμαῖος ποιητὴς περὶ μὲν Ἀλκαίου ὄντος αὐτῷ τοῦ λόγου μέμνηται καὶ Λύκον τὸν ἐρώμενον ὀνομάζειν (I, 32),

„Et Lycum nigris oculis nigroque
crine decorum (canebat),

περὶ δὲ Σαπφοῦς ἐν πολλοῖς τούτοις τόποις, Carm. II, 13, + IV, 9, + Epist. I, 19, 28, ὧν τῶν μὲν δύω ἀνωτέρω ἐμνημονεύσαμεν, ἐν δὲ τῷ τρίτῳ ταῦτα φέρεται,

„Temperat Archilochi Musam pede mascula Sappho,

οὐδένα λέγει Φάωνα, καίτοι φυσικὸν τοῦτο, καὶ πολυλάλητος ἤδη ἔν τε τῇ Κωμῳδίᾳ καὶ τῇ Παραδόσει ὁ ἐρώμενος ἦν. Ὡς δ' αὔτως παρὰ Πλουτάρχῳ πολλὰ πολλαχοῦ περὶ τῆς ποιητρίας λέγοντι, οὐδὲν περὶ Φάωνος ἀπαντᾷ· περὶ οὗ πλείονα ἐν Γ'. Κεφαλαίῳ. Ὡς δ' αὔτως καὶ οἱ περὶ Ἀθήναιον χωρίζοντες τὸν τῆς Κωμῳδίας Φάωνα, οὐκ ἀληθῆ τινα, τῇ Ἐρεσίᾳ ἀποδιδόναι πειρῶνται, ὡς καὶ Στράβων Μένανδρον εἰσάγει τὸν Κωμικὸν ἀποδιδόντα Σαπφοῖ τὸν

ἄνδρα, ὡς κατωτέρω εἰρήσεται· Ἀλλ' εἴγε ἀσφαλέστερον σύγχρονον καὶ πιστὴν ἐκζητεῖν μαρτυρίαν, εἴπερ Φάων Σαπφοῦς ἦν ἐραστής, ἢ καὶ σύγχρονος ἁπλῶς ἐρωτύλος, εἴ τοσοῦτος περὶ αὐτὸν ἐγίνετο θόρυβος, Ἀλκαῖος ὁ κατὰ τοὺς χρόνους ἐκείνους βιοὺς οὐκ ἄν τι περὶ αὐτοῦ ἔλεγε; Καὶ ἀπολεσθέντος δὲ τούτου, οὐ μνεία γοῦν τις παρὰ τῶν ἐπιγενομένων ἄχρις ἂν ἡμῶν διεσώζετο;

Φανερῶς πρῶτον ἐν τῇ Ἀττικῇ Κωμῳδίᾳ τοὔνομα φέρεται τοῦτο· καὶ μὴν Κρατῖνος μὲν ὁ Κωμικὸς ἐπὶ Περικλέους γενόμενος πρῶτος μὲν περὶ Φάωνος λέγει παρ' Ἀθηναίῳ (ΙΙ. 69), οὕτω διηγουμένῳ: Κρατῖνος δέ φησι Φάωνος ἐρασθεῖσαν τὴν Ἀφροδίτην ἐν καλαῖς θριδακίναις αὐτὸν ἀποκρύψαι, κ. τ. ἑ., ἀλλ' οὐδὲν ἐνταῦθα περὶ Σαπφοῦς· Πλάτων δ' ὁ Κωμικὸς ἔπειτα Κωμῳδίαν ἔγραψε Φάωνα, ἀλλ' οὐδ' ἐνταῦθα, ἔν γε τοῖς σωζομένοις ἀποσπάσμασι περὶ Σαπφοῦς τι φέρεται· τῶν δ' ἐπιγενομένων τῆς τε μέσης καὶ νεωτέρας Κωμῳδίας ἓξ μὲν ἐποίησαν Σαπφοὺς ἀπολεσθείσας, δύω δὲ Φάωνας· καὶ περὶ μὲν τούτων πάντων διὰ μακροτέρων ἡμῖν ἐν Κεφαλαίῳ τρίτῳ ἔσται ὁ λόγος, τοῦτο δὲ μόνον εἰρήσθω ἐνταῦθα, ὅτι πρῶτον παρὰ Μενάνδρῳ, ὃς τῷ 342ᾧ πρὸ Χριστοῦ γεννήσεως γενόμενος, μετὰ τὸν μέγαν ἤκμασεν Ἀλέξανδρον, ἀπαντᾷ Σαπφὼ μετὰ Φάωνος παρὰ Στράβωνι οὕτως (X, β', 451).

„Οὗ δὴ λέγεται πρώτη Σαπφὼ
τὸν ὑπέρκομπον θηρῶσα Φάων'
οἰστρῶντι πόθῳ ῥίψαι πέτρας
ἀπὸ τηλεφανοῦς κ. τ. λ.".

οὐκ ἀπίθανον δὲ καὶ ἑτέρους τούτων ἑνῶσαι, ὡς καὶ Πλαῦτος ὁ Ῥωμαῖος Κωμικὸς ποιεῖ (Mil. glor. IX. 6. 36). Τοῦτο μέντοι πρῶτον καὶ καλῶς ἐνταῦθα ἐν ὑπολόγῳ ποιεῖσθαι χρή, ὅτι οἱ Κωμικοὶ ἀκριβῶς τὸ διαφέρον εἰδότες Σαπφοῦς τε καὶ Φάωνος, πολλῷ μᾶλλον ἰδίᾳ καὶ ἐλεύθερον θατέρου θάτερον ἐπραγματεύσαντο, ἢ ὅτι σπανίως ταῦτα καὶ ἐπὶ Κωμικαῖς, ὡς ἔφημεν, ἥνωσαν αἰτίαις. Λέγει ἔπειτα περὶ τούτου ὁ τὴν πέμπτην καὶ δεκάτην συνθέμενος Ἡρωΐδα εἴτε Ὀβίδιος ὁ ποιητὴς οὗτος, εἴθ' ἕτερός τις, πιθανώτατα ἐκ τῆς Κωμῳδίας καὶ τῶν Ἀλεξανδρινῶν ἀντλῶν· Σέρβιος δ' ἐν Ἑρμηνείᾳ Αἰνειάδος (III, 279) Λέσβιον μὲν αὐτὸν λέγει, παραδόξως δὲ πολλὰς αὐτοῦ ἐρασθείσας εἰσάγων γυναῖκας, Σαπφοῦς

οὐ μνημονεύει, καὶ τὸ παραδοξότερον· μίαν γὰρ λέγων ἀπὸ τοῦ Λευκάτου διὰ τὸν ἐκείνου ἔρωτα εἰς τὴν θάλασσαν ἁλομένην, οὐδένα λόγον Σαπφοῦς ποιεῖται, γνωρίμου γε μὴν ταύτης πάνυ πάλαι καὶ πᾶσιν ἀνθρώποις οὔσης· ὅρα περὶ τούτων καὶ Kock (61, 62, 65). Πλίνιος δ' αὖ πάλιν ἐν τῇ Φυσικῇ ἱστορίᾳ (XXII, 8, 20) περὶ ἠρυγγίου τοῦ φυτοῦ λέγων, ἄγει καὶ οὗτος ἐπὶ τὸ αὐτὸ Σαπφὼ καὶ Φάωνα· ὡς δ' αὔτως Ἡφαιστίων. Μόνοι δὲ τῶν μετὰ πολὺ χρόνου ἐπιγενομένων Παλαίφατος (c. 49) καὶ Ἀποστόλιος (Prov. 20, 15) φασὶ τοὔνομα εἶναι ἐν τοῖς Σαπφοῦς ποιήμασι Φάων, ὧν ὁ πρῶτος τάδε λέγει· „οὗτος ὁ Φάων, εἰς ὃν πολλὰ ἐποίησεν ἡ Σαπφώ. Δικαίως μέντοι Kock (65) ἀναξίους ἡγεῖται ἀμφοτέρους πίστεως, Παλαιφάτου μὲν τὴν συγγραφὴν λέγων μεταβολάς τινας καὶ ἀλλοιώσεις παρὰ τῶν μετέπειτα λαβεῖν, Ἀποστόλιον δὲ μὴ πλείω ἡμῶν εἰδέναι τῶν νῦν· καὶ γάρ, προστίθεμεν ἡμεῖς, οὐδ' ἐσώζετο ἔτι ἐπ' αὐτοῦ τὰ Σαπφοῦς ποιήματα. Εὐσταθίῳ μὲν γὰρ ἐν τῇ 12ῃ ἑκατονταετηρίδι οὐκέτι ταῦτ' ἐς ἀνάγνωσιν προὔκειτο, Ἀποστόλιος δ' ἐν τῇ πέμπτῃ καὶ δεκάτῃ ἐγένετο· ὅρα περὶ τούτου Sittl ἐν τῇ τῶν Ἑλλ. Γραμμάτων ἱστορίᾳ (330)· καὶ ὣς μέντοι αἱ λέξεις: Φάων, εἰς ὃν, δύναιντ' ἂν τάδε σημαίνειν: ὁ Σαπφοῦς ἐραστής, ὃν Φάωνα καλοῦσιν, εἰς ὅν. Οὐκ ἄπορον δὲ καὶ εἶναί τινα πάντως Σαπφοῦς ᾠδήν, τὸ Φάωνος, ὡς ἔφημεν, ἐνέχουσα μύθευμα, καὶ ἑτέραν δέ τινα τάχα ὑποβολιμαίαν ὑπάρχειν, ὅπου καὶ ἐν τοῖς Ἀθηναίου ἤδη χρόνοις ἐνενόθευτο τὰ ποιήματα, ὃς (XIII, 599) τοὺς στίχους (26),

„Κεῖνον, ὦ χρυσόθρονε Μοῦσ', ἔνισπες κ. λ.

ὡς δὴ ὑπὸ Σαπφοῦς πεποιημένους, ἀκύρους ποιεῖ· ὅρα καὶ Plehn (180).

Τῶν δὲ νεωτέρων Welcker μὲν ἐν δευτέρῳ (136) Müller ἔλεγχον ποιούμενος, ἀρνουμένου τὸ Φάωνος ὄνομα μὴ ἐν τοῖς ποιήμασιν εἶναι, τἀναντία ἡγεῖται, οὐχ οἷόν τ' εἶναι λέγων Ὀβίδιον σφάλλεσθαι κατὰ τὸ κύριον ἐν τῇ Ἡρωίδι πρόσωπον, καὶ εὕρημα ἑαυτοῦ τοῦτο ποιεῖσθαι, ἀναγνοῦντα πάντως τὰ Σαπφοῦς ποιήματα· ἀλλ' εὐχερὲς ταῦτ' ἀνασκευάζειν· ἡ μὲν γὰρ Ἡρωὶς ὑποβολιμαία λέγεται, ὡς ἐν τῷ Γ'. κεφαλαίῳ ἡμῖν δεδείξεται, καὶ Ὀβιδίου δὲ ταύτης οὔσης, οὐκ ἄπορον ἐκ τῆς Κωμῳδίας ἡγεῖσθαι καὶ τῆς

Παραδόσεως ταῦτ' ἐκεῖνον παραλαβεῖν. Ἐν δὲ τετάρτῳ δεχόμενος (85) πάντως ἐραστήν τινα, ἐν ἀμφιβόλῳ ἐστίν, εἰ τοιοῦτον ἦν αὐτῷ ὄνομα, ἐνταῦθά τε καὶ ἐν πέμπτῳ (233) πιθανὸν ἡγούμενος Σαπφὼ αὐτὴν τῷ ἐραστῇ τοὔνομα ἐκεῖνο δοῦναι, Φάων, τουτέστι λάμπων, καθάπερ καὶ Ἀλκαῖος τῷ ἑαυτοῦ Λύκῳ, καὶ ὅτι πολλὰ ἐν τοῖς ποιήμασι τῷ ὀνόματι ἐκείνῳ ἐγνωρίζετο, ἃ καὶ τῇ Ἐρεσίᾳ ἀποδοῦναι ἐπειρῶντο· καὶ μὴν δοκεῖ ἡμῖν Welcker ἀντιλογίᾳ τινὶ πρὸς ἑαυτὸν περιπίπτειν ἐν V[ῳ] (235), τὸν τῆς Κωμῳδίας Φάωνα ὑφίστασθαι λέγων ἐν Λέσβῳ ὥς τινα μῦθον. Δῆλός γε μὴν οὗτος ἀποδεχόμενος μὲν τοὔνομα ἐν τοῖς ποιήμασιν ὄν, οὐ μέντοι τ' ἀληθές, ἀλλὰ κοσμητικοῦ δίκην ὀνόματος. Neue δὲ (6) ἑτοίμως πάνυ καὶ ἀπροφασιστότερον γνώμην ἀποφαίνεται, Φάωνα τοῦτον εἶναι τὸν ἀληθῆ Σαπφοῦς ἐραστήν, ὅν τε ἐκ τῶν ποιημάτων ἡ Κωμῳδία, καὶ ἐκ ταύτης οἱ ἐπιγενόμενοι αὐταῖς ταῖς τερατολογίαις παρελάβοντο. Οἱ πλείους μέντοι τῶν ἄλλων τἀναντία φρονοῦσι, μηδαμῶς ἐν τοῖς ποιήμασι τοὔνομα εἶναι λέγοντες, οἷοι Müller, Lehrs, Köchly, Kock, Sittl, Arnold καὶ λοιποί, λόγους ἄλλοι ἄλλους φέροντες, Müller δὲ ἐν τῇ τῶν Ἑλλ. Γραμμάτων ἱστορίᾳ (I, 314), ὃν ἡμεῖς ἀνωτέρω (ἐν σελίδι 78) πρῶτον καὶ κύριον λόγον εἴπομεν. Μῦθον δ' ἅπαντες λέγουσιν εἶναι τὰ περὶ Φάωνα θαυμάσια ἐκεῖνα, καὶ ἀλληγορούμενά τινα ὑπολαμβάνουσί τινες τούτων ἐν τῷ μύθῳ ὑπονοεῖσθαι, ἃ καὶ ἐξερευνῆσαι πειρῶνται, Müller καθηγουμένου τῆς ὁδοῦ ταύτης, καὶ τὸν Φάωνος μῦθον τῷ Ἀδώνιδος συνάπτοντος. Πλεῖστα δὲ πάντων ἡμῖν τοιαῦτα Kock ἐξηγεῖται ἐν τῇ ἑαυτοῦ Σαπφοῖ κατὰ τὸ τέλος, Φάωνα λέγων τὸν Ἥλιον εἶναι, τὸν φάος μὲν παρέχοντα, ἅμα δὲ καὶ φένοντα, ἤτοι θάνατον καὶ ὄλεθρον φέροντα, τὸν ὁτὲ μὲν νεάζοντα καὶ ἀνδρούμενον, ἦρος ταῦτα καὶ θέρους, ὁτὲ δὲ φθίνοντα καὶ γηράσκοντα, μετοπώρου καὶ χειμῶνος· Σαπφὼ δὲ τὴν Σελήνην εἶναι λέγων, τὴν σαφῆ, τὴν στίλβουσαν, τὴν τὰς Ἡλίου ἀκτῖνας, ἤτοι τὸν Φάωνος ἔρωτα φεύγουσαν, καὶ εἰς τὴν θάλασσαν πίπτουσαν (ἅλμα Σαπφοῦς). Ἀλληγορούμενά τινα πειρᾶται καὶ Sittl ἐνδεικνύναι τὸν Φιλομήλας μῦθον οὗτος τοῖς Φάωνος καὶ Ἀδώνιδος συνάπτων. Ἀλλὰ χωρὶς τούτου, ὅτι τὰ ἀλληγορούμενα ἐκεῖνα ἔν τε τοῖς καθόλου καὶ ἐν τοῖς ἐπὶ μέρους οὐ πάντη ἁρμόττοντα ἀλλήλοις τε

καὶ τοῖς πράγμασι αὐτοῖς φαίνεται, ἀλλὰ κατ᾽ ἀρχήν, παρ᾽ ἡμῖν γε κριταῖς, πᾶσα ἀλληγορικὴ ἀποῤῥιπτέα ἐξήγησις. Σαπφὼ μὲν γὰρ ἱστορεῖται γενομένη τε καὶ ἐνδόξως διοῦσα, καὶ τὰ αὐτῆς ἄχρις ἡμῶν σώζεται ἔργα, τὰ δὲ περὶ Φάωνα ἐκεῖνα μῦθός τις εὐθὺς φαίνεται εἶναι καὶ πλάσμα· καὶ ὁ μὲν Σαπφοῦς ἐραστὴς ἀληθής τις, τῶν αὐτῶν χρόνων καὶ τῆς αὐτῆς πόλεως ὤν, Φάων δὲ μυθικὸν τῶν ἡρωϊκῶν χρόνων γέννημα, οἷον ὑπολαμβάνει τοῦτον καὶ Kock (70), πιθανῶς τῆς αὐτῆς τῷ Πάριδι ἐποχῆς. Οὐκ ἀπίθανον μέντοι δοκεῖ ἡμῖν καὶ τοῦτο, ἐν τοῖς ἀφεστηκόσιν ἐκείνοις καὶ πολὺ τὸ μυθικὸν ἔχουσι χρόνοις ἄνδρα τινὰ περικαλλῆ γενέσθαι ἐν Λέσβῳ, καὶ ταῦτα πορθμέα, πρὸς δὲ τἀμήχανον κάλλος καὶ τὸν ἀνυπόστατον τούτου ἔρωτα ἐκπλήκτους τὰς γυναῖκας ἐπιῤῥέειν τε αὐτὸν καὶ διώκειν· οὐκ ἄτοπον δὲ καὶ μύθους περὶ αὐτοῦ ἐξευρεῖν, οἷαν τὴν Ἀφροδίτης διαπόρθμευσιν, καὶ τὴν παρ᾽ αὐτῆς ἐξ ἀλαβάστρου πυξίδα, καὶ ὅσα τοιαῦτα· ὅπου καὶ νῦν ἔτι οἱ τῶν Ἀνατολικῶν χωρῶν λαοί, ἰσχυρὸν τὸ φανταστικὸν ἔχοντες, πολλὰ τοιαῦτα παράδοξα καὶ ἀπίθανα πλάττουσι μυθεύματα. Ἀλλὰ ταῦτα χρόνων πολὺ Σαπφοῦς προηγηθέντων, οὐδέν τι κοινὸν ἔχειν ἡγούμεθα τῷ ἐκείνης Ἔρωτι, ὃν περιπαθέστατα ἐρασθεῖσαν ἐπὶ πολὺ χρόνου ἡμεῖς ἀκατονόμαστον αὐτὸν ᾆσαι λέγομεν τὴν ποιήτριαν· ἡγούμεθα γὰρ ἡμεῖς τὸν ἔρωτα τοῦτον μὴ ἀνέδην καὶ ἀπαρακαλύπτως καθηδυπαθεῖσθαι, ἀλλὰ μετὰ πολλοῦ μὲν πυρός, πεφυλαγμένως μέντοι καὶ μετὰ κοσμιότητος θεραπεύεσθαι, ἄχρι μικρὸν πρὸ τῆς εἰς Σικελίαν φυγῆς. Ὅπερ δὲ Flach φησιν (II, 492), ἄτοπον ἡγούμενος γυναῖκα χήραν μετὰ τοσούτου ἐρασθῆναι πάθους, καὶ ἐγκαρτερεῖν οὕτω δυστυχοῦντι τῷ ἔρωτι, οὐχ ἡμῖν δοκεῖ ὀρθῶς, οὐδὲ τὸ παράπαν Ἑλληνικῶς λέγεσθαι. Σαπφὼ μὲν γὰρ νεαρὰ ἦν ἔτι γυνή, ἐρωτικῆς δὲ πίστεως καὶ καρτερίας παραδείγματα ἡγούμεθ᾽ οὐκ ὀλίγα καὶ ἐν τῇ ψυχρᾷ τῶν Γερμανῶν χώρᾳ εἶναί τε καὶ λέγεσθαι, πολλῷ γε μᾶλλον ἐν ταῖς πρὸς νότον τετραμμέναις ἡμετέραις εὐηλίοις χώραις, καὶ δὴ ἐπὶ τῆς λίαν ἐρωτικῆς Λέσβου. Ἀλλ᾽ ἡμεῖς καὶ μάρτυρα δοκοῦμεν ἔχειν τούτου μάλα γε πιστεύεσθαι ἄξιον, Πλούταρχον, διαῤῥήδην ἐν Ἐρωτικῷ (18) λέγοντα: Μούσαις εὐφώνοις ἰωμένη τὸν ἔρωτα, δῆλα δή, ὅτι χρόνιον ὄντα ἰᾶτο ἐκείνη· παρατατικῷ ἐχρήσατο· οὐχ ἅπαξ ἰάσατο·

Ἀλλὰ τὸ ἐπὶ πολὺ κεκρυμμένον τοῦ ἔρωτος καὶ Ὀβίδιος δηλοῖ (121), μετὰ τὴν τοῦ ἐραστοῦ φυγὴν λέγων πάντας πυθέσθαι τοῦτο·

„Non veniunt in idem pudor atque amor· omne videbat
vulgus· eram lacero pectus aperta sinu.

Οὕτω Σαπφώ, ὡς ἡμῖν δοκεῖ, πολλὰ ἐκ τοῦ ἔρωτος τούτου παθοῦσα, ἀεὶ πλείοσιν ἤδη γνωστοῦ καθισταμένου, καὶ τοῦ ἐραστοῦ αἴφνης εἰς Σικελίαν πυθομένη ἀποδημοῦντος, ἔσπευδε φεύγειν τὴν ἑαυτῆς, κἀκεῖνον διώκειν, οὐκ ἀπιθάνως δ' ἅμα καὶ τὰς κατὰ τὴν πόλιν στάσεις καὶ ταραχὰς φεύγουσα· ἐν ἐκείνοις γὰρ ἀκριβῶς τοῖς χρόνοις Ἀλκαῖος μετὰ τῶν ἀδελφῶν κατὰ Πιττακοῦ ἐστασίαζε, καὶ φυγὰς τῆς πόλεως ἀπηλαύνετο. Τῆς φυγῆς ταύτης μάρτυς ἀσφαλέστατος τὸ Πάριον κεῖται μάρμαρον, ὅπερ ἐν τῇ 36ῃ ἐποχῇ λέγει· „Σαπφὼ ἐκ Μυτιλήνης εἰς Σικελίαν ἔπλευσε φυγοῦσα" (Schöne 744). Ὑπαινίττεται δ' αὐτὴν καὶ Ὀβίδιος (52),

„Quid mihi cum Lesbo? Sicelis esse volo.

ἀποδέχεται δ' αὐτὴν καὶ Barthel. Anachars. Supp. (cap. 3) καὶ Visconti Iconogr. gr. (I, 2, 3) καὶ ἄλλοι. Καὶ τῶν νεωτέρων δ' οἱ πλεῖστοι ἀποδέχονται αὐτήν, χωρὶς Neue, ὃς ἄτοπά τινα προφασίζεται (8), καὶ ὅτι οὐδέν τι περὶ τούτου παρ' αὐτῇ Σαπφοῖ ἀναγιγνώσκεται, οὐκ ὀρθῶς. Σχεδὸν δέ τι ἅπαντες ἀνάγκῃ γενομένην τὴν φυγὴν λέγοντες, οἱ μὲν τὸν Φάωνος ἔρωτα, οἱ δὲ τὰς κατὰ τὴν πόλιν στάσεις, οἱ δ' ἄμφω ταῦτα ἀφορμὰς αὐτῆς προβάλλονται· μόνος δὲ Welcker σαλεύων τῇ γνώμῃ περὶ τῆς ἀφορμῆς, καὶ ἐν μὲν τετάρτῳ (85) τὸν Φάωνος ἔρωτα, ἐν δὲ δευτέρῳ (81 + 82) ἀμφότερα λαμβάνων ἀδιακρίτως, οὐ δι' ἀνάγκης λέγει τὴν φυγὴν γενομένην, τὸ φεύγειν καὶ ἐπὶ ἑκουσίας τίθεσθαι ἀποδημίας λέγων, ὡς παρὰ Θεόγνιδι (333?)· ὅρα καὶ V (238). Ἡμεῖς μέντοι τῷ ῥήματι τούτῳ ἀεί τινα βίαν τε καὶ ἀνάγκην ἐνεῖναι ὑπολαμβάνομεν, καὶ ἤτοι ἀκουσίως γιγνομένης ἀποδημίας ὑπόνοιαν, ἤ τινα καὶ ἄλλως ἐξ ἀνιαρῶν καὶ δυσχερῶν πραγμάτων ἀπαλλαγήν, ἐν δὲ τῷ ἡμετέρῳ χωρίῳ καὶ τῇ λέξει καταφανὴς ἡ ἀνάγκη γίγνεται· ἄμφω γὰρ ταῦτα τιθέμενα: ἔπλευσε φυγοῦσα, τοῦτ' ἀκριβῶς δηλοῦσιν· ἄλλως γὰρ ἱκανὸν ἂν ἦν ἁπλῶς, ἔπλευσεν, εἰπεῖν, καὶ δὴ ἐν ἐστενογραφημένῳ ἐπὶ μαρμάρου χρονικῷ. Ταύτην τῆς λέξεως τὴν ῥοπὴν ἀποδέχεται καὶ Flach (II, 488), φυγάδα αὐτὴν ἐς Σικελίαν

πλεῦσαι λέγων, ἔνθα καὶ τὴν ἐν Πανόρμῳ Ἀφροδίτης διδαχθῆναι λατρείαν, ὡς ἐν ἀποσπ. 6ῳ φέρεται.

„Ἢ σε Κύπρος καὶ Πάφος ἢ Πάνορμος,

καὶ ὅτι τὴν φυγὴν ταύτην οὐ διακριτέον τῆς τῶν ἀρίστων φυγῆς ὑπ' Ἀλκαῖον τῷ 595ῳ πρὸ Χριστοῦ γεννήσεως, μεθ' οὗ λέγει (36) καὶ οἴκαδε ὑποστρέψασαν αὐτήν, τεκμηρίῳ πρὸς ταῦτα χρώμενος καὶ τῇ Ὀβιδίου Ἡρωΐδι. Τοιαῦτα δ' ἄττα καὶ Köchly πιθανεύεται (181), καὶ Kock (25).

Ἡμεῖς μέντοι τἀναντία φρονοῦντες, ὧδε ταῦτα τεκμηριοῦν δοκοῦμεν· εἴπερ γὰρ Σαπφὼ μετ' Ἀλκαίου καὶ διὰ τὰς στάσεις μόνον ἀνεχώρει, οὐ μὴν μνείαν τούτου ἔδει ἐν τῷ Παρίῳ γίγνεσθαι μαρμάρῳ, ἀλλὰ καὶ τὸ τοῦ στασιάρχου ὄνομα πολὺ πρὸ τῶν ἄλλων φαίνεσθαι· ὡς ἡμῖν δοκεῖ, οὕτω κεῖσθαι: Ἀλκαῖος μετὰ Σαπφοῦς καὶ τῶν στασιωτῶν ἔπλευσε φυγὼν κ. τ. ἑ., ἀλλ' ἐνταῦθα πρόδηλον περὶ Σαπφοῦς κυριώτατα εἶναι τὸν λόγον. Τούτου δ' ἕνεκα καὶ Boeck παρὰ Schöne (755) ὁμολογοῦμεν περὶ τῶν ἀκολουθούντων ἐν τῷ κενῷ τῷ εὐθὺς κατόπιν, πρὸς Φάωνα ταῦτα τὸν λόγον ἐσχηκέναι ἡγούμενοι, καὶ οὐ πρὸς Ἀλκαῖον ὡς Schöne διατείνεται λέγων (759). Ὅ,τι δ' εἰς τὸν χρόνον ἀφορᾷ τῆς φυγῆς, εὖ τε μὲν καὶ καλῶς ἠκριβολόγηται ταῦτα παρὰ Schöne, καὶ σχεδόν τι τῷ 590ῳ πρὸ Χριστοῦ γεννήσεως φαίνεται ἀναχωροῦσα, ἐν οἷς χρόνοις τήν τε Ἀλκαίου πρὸς Πιττακὸν πολιτικὴν ἔχθραν καὶ τὰς κατὰ τὴν πόλιν στάσεις ἀπὸ πέντε ἤδη ἐτῶν (595) ἐκκαίεσθαι συνέβαινε, τήν τε Πιττακοῦ αἰσυμνητείαν (590) καὶ τὴν ἀπὸ τῆς πόλεως τῶν ἀρίστων ἀπέλασιν συνέβαινε γίγνεσθαι. Ἕν τι μόνον δοκεῖ ἡμῖν οὐ καλῶς παρὰ Σουΐδᾳ κεῖσθαι, ὅτι Σαπφὼ καὶ Ἀλκαῖος τῇ 42ᾳ ἐγένοντο Ὀλυμπιάδι· οὐ γὰρ ἡμεῖς πιστεύομεν, δύω καὶ εἴκοσι μόνα βιοῦντας ἔτη τούτους, διὰ τοσούτων καὶ τηλικούτων ἐν τῷ βίῳ ἐλθεῖν, καὶ τοσαύτης μετασχεῖν δόξης, καὶ τοσούτου κυρίους εἶναι ἀξιώματος κατὰ τὴν πόλιν· ἀλλ' ἔτη τινὰ πρὸ τοῦ χρόνου τούτου δοκοῦσιν ἡμῖν γενέσθαι· ἄτοπον γὰρ ἂν ἦν τῇ αὐτῇ Ὀλυμπιάδι (42ᾳ) Πιττακὸν μὲν τεσσαρακοντούτη ὄντα Μέλαγχρον ἀναιρεῖν τὸν τύραννον μετ' Ἀντιμενίδου τοῦ Ἀλκαίου ἀδελφοῦ, Ἀλκαῖον δὲ τοῦτον μόλις ἤδη γεννᾶσθαι, τὸν μετὰ ἑκκαίδεκα ἔτη Πιττακοῦ ἀντίπαλον· ὅπου παρὰ Στράβωνι (XIII. 617) αὐτῷ τε

Μελάγχρῳ ὁμοίως Ἀλκαῖον λοιδορούμενον ὁρῶμεν, ὥςπερ καὶ Πιττακῷ καὶ Μυρσίλῳ· ὅρα περὶ τούτων καὶ Schöne (752+753). Ὁμολογεῖ πως ἡμῖν περὶ τούτου καὶ Welcker λέγων ἐν δευτέρῳ (82, σημ.), ὅτι Σαπφὼ φεύγουσα οὐ μάλα νεαρὰ ἦν. Ὅτι δ' οὐκ ὀρθῶς πάνυ Schöne μὴ γνώριμον εἶναι λέγει Σαπφὼ φεύγουσαν, ἀνωτέρω (54) ἡμεῖς εἰπόντες ἔφθημεν, καὶ ταῦτα τοῦ Εὐσεβίου χρονικοῦ τἀναντία πορίζοντος, ὃ καὶ διαφθεῖραι ἐκεῖνος πειρᾶται, Σαπφὼ ἀφαιρῶν τῆς γραφῆς· ἀλλ' ὅτι Σαπφὼ συνεγνωρίζετό τε Ἀλκαίῳ καὶ συνήκμαζε, καὶ ἐν πολλαῖς γε δὴ παρὰ τῷ ποιητῇ ἦν τιμαῖς, δείκνυσι μὲν καὶ τὰ Ἀλκαίου πρὸς τὴν ποιήτριαν ἐκεῖνα, ἐν ἀποσπάματι 55ῳ τῶν Ἀλκαίου,

„Ἰόπλοκ', ἄγνα, μελλιχόμειδε Σάπφοι,

εἰρήσεται δ' ἡμῖν διὰ πλειόνων καὶ ἐν τῷ ἑπομένῳ Κεφαλαίῳ.

Καὶ ἤδη τὰ περὶ τοῦ διαβοήτου ἐξεταστέα ἅλματος, τῶν περὶ Σαπφοῦς ζητημάτων ἐπιπονωτάτου τούτου καὶ μάλιστα πάντων ἀπορουμένου, ᾧτῳ δή ποτ' ἂν πιστεῦσαί τις ἔχοι περί τούτου καὶ μή. Οὕτως ἀναποσπάστως Σαπφοῦς ἡ περὶ τοῦ ἅλματος ἔχεται γνώμη, ὥστε ταύτης μὲν ἔννοιαν ἔχειν ἐκείνου ἄνευ οὐχ οἷόν τε, ἐκεῖνο δ' αὖ ὑπὸ Σαπφοῦς καθοσιοῦταί πως, καὶ ἐπίσημον γίγνεται, διώκων δέ τις θάτερον τούτων, σχεδόν τι ἀναγκάζεται καὶ τὸ ἕτερον λαμβάνειν, ὥςπερ ἐκ μιᾶς κορυφῆς συνημμένω δύω ὄντε. Καὶ μὴν θαυμάζοι τις ἂν πάνυ, ὅτι τῶν Κλασικῶν λεγομένων συγγραφέων οὐδεὶς αὐτοῦ περὶ αὐτῆς μνημονεύει, Ἡρόδοτός τε καὶ Πλάτων καὶ Ἀριστοτέλης καὶ Πλούταρχος καὶ Λουκιανὸς καὶ εἴτις ἄλλος, Σαπφοῦς ἅπαντες μνείαν ποιούμενοι. Μένανδρος ὁ Κωμικὸς πρῶτος λέγει παρὰ Στράβωνι, ὡς ἐν σελίδι (80) εἴδομεν, Σαπφώ, τὸν ὑπέρκομπον θηρῶσαν Φάωνα, ῥῖψαι ἑαυτὴν εἰς τὴν θάλασσαν ἀπὸ τοῦ Λευκάτου, καὶ δὴ πρώτην ταύτην· καίπερ Πλούταρχος ἐν τῷ περὶ γυναικῶν ἀρετῆς (Moral. 255), Φόβον τὸν ἐκ Φωκαίας λέγει τοῦ Κοδριδῶν γένους ἀπὸ τῶν Λευκαδίων πετρῶν πρῶτον ἀφεῖναι ἑαυτόν εἰς τὴν θάλασσαν, ὡς Χάρων ὁ Λαμψακηνὸς ἱστόρηκεν, ἕτεροι δὲ κατὰ Στράβωνα Κέφαλον τὸν Δηιονέως τοῦ Αἰόλου. Μνημονεύουσι τούτου καὶ Ὀβίδιος ἐν Ἡρωΐδι (171 + 220),

„ . . . . . . Pete protinus altam
Leucada, nec saxo disiluisse time· *καὶ*
Ut mihi Leucadiae fata petantur aquae . . .

καὶ Statius (Silv. V, 3, 155),

„ . . . . Saltusque ingressa viriles
non formidata temeraria Leucade Sappho.

Ἀλκίφρων τε καὶ Ausonius καὶ Laelius καὶ ἕτεροι, περὶ ὧν ὅρα Neue (4) καὶ Plehn (186). Στράβων δὲ διὰ πλειόνων περὶ Λευκάτα λέγων (X. σ. 451 + 2) ὧδε ἐξηγεῖται· „ἔχει δὲ τὸ τοῦ Ἀπόλλωνος ἱερὸν (ἡ νῆσος) καὶ τὸ ἅλμα τὸ τοὺς ἔρωτας παύειν πεπιστευμένον . . . Ἦν δὲ καὶ πάτριον τοῖς Λευκαδίοις, κατ' ἐνιαυτὸν ἐν τῇ θυσίᾳ τοῦ Ἀπόλλωνος ἀπὸ τῆς σκοπῆς ῥιπτεῖσθαί τινα τῶν ἐν αἰτίαις ὄντων ἀποτροπῆς χάριν, ἐξαπτομένων ἐξ αὐτοῦ παντοδαπῶν πτερῶν καὶ ὀρνέων, ἀνακουφίζειν δυναμένων τῇ πτήσει τὸ ἅλμα, ὑποδέχεσθαι δὲ κάτω μικραῖς ἁλιάσι κύκλῳ περιεστῶτας πολλούς, καὶ περισώζειν εἰς δύναμιν τῶν ὅρων ἔξω τὸν ἀναληφθέντα· ὅρα καὶ Servius εἰς Αἰν. (3, 279) καὶ Kock (63). Διδάσκει τοίνυν ἡμᾶς Στράβων ἱστορικὸν εἶναι τὸ ἅλμα καὶ πιστεύεσθαι ἄξιον, οὐδὲ κωλύει τοῦτο οὕτως ἔχειν τὰ μυθεύματα, ἅπερ Ὀβίδιός τε καὶ Πτολεμαῖος περὶ αὐτοῦ λέγουσιν, ὁ μέν, ὅτι Δευκαλίων ἤδη τῷ Πύρρας κατεχόμενος ἔρωτι, (Ἡρ. 166) χρῆσιν ποιεῖται τοῦ ἅλματος, ὁ δέ, ὅτι Ἀφροδίτη τε τὸν Ἀδώνιδος καὶ Ζεὺς τὸν Ἥρας ἔρωτα εἰς τὰ ὑπὸ τὸν Λευκάταν ἔσβεσαν ὕδατα κρημνίσαντες ἑαυτοὺς (Πτολ. 1, 7). Οὐκ ἐνδεῖ μέντοι καὶ παραδειγμάτων ἐκ τῆς Ἱστορίας παρειλημμένων, ὡς πολλῶν τε ἄλλων καί τινος ἐκ Βουθρωτοῦ τῆς Ἠπείρου, ἀνδρὸς ἰδιώτου, τετράκις ἀπὸ τοῦ ἅλματος καὶ τῶν κυμάτων ἐκείνων σώου διαγενομένου, περὶ ὧν ὅρα Φωτίου Βιβλιοθήκην (153, 25. Boeck) ἐν λέξεσι Φάων καὶ Λευκάτας, καὶ Ἀποστόλιον (20, 15), καὶ Ἐτυμολογικὸν μέγα, καὶ Ἡσύχιον ἐν λέξει, Φάων. Ἡμεῖς δὲ καὶ τὰ περὶ Καλύκης ὑπὸ Στησιχόρου ᾀδόμενα, περὶ ὧν ὅρα Ἀθήναιον (XIV, 619) καὶ Kock ἀνωτέρω, τῷ Εὐάθλου κατεχομένης ἔρωτι, καὶ δυστυχοῦντος τούτου ἐν τοῖς κύμασιν ἐκείνοις τὸν βίον καταλυσάσης, οὐκ ἄμοιρα ἀληθείας τινός, οὐδὲ μεμυθευμένα ὅλως καὶ ἐξευρημένα ἡγούμεθα εἶναι.

Τὸ πρὸς τὴν ἡμετέραν ἤδη ποιήτριαν, μετὰ Μένανδρον καὶ Ῥωμαίους ποιητάς, ὡρισμένως τὸ ἅλμα Σαπφοῖ ἀποδιδόντας, Ἀθήναιος καὶ οἱ περὶ αὐτὸν τῇ ἑτέρᾳ πειρῶνται ἀποδοῦναι αὐτό, τῇ Ἐρεσίᾳ, τῇ οὐκ οὔσῃ· σημεῖον, ὅτι ἀρνεῖσθαι αὐτὸ παντάπασι μὴ δυνάμενοι, μετατιθέναι ἐκ τῆς μιᾶς εἰς τὴν ἄλλην ἐπειρῶντο· ὅρα καὶ Möbius (4). Ποιοῦσι τοῦτο Ἀθήναιος, Σουΐδας, Φώτιος, Ἀποστόλιος καὶ λοιποί· Φώτιος δὲ δίχα τὰς γνώμας φέρεται, ἐν λέξει Λευκάτας ἀμφοτέραις αὐτὸ ἀποδιδούς. Δῆλον ἐκ πάντων τούτων γίγνεται, ὅτι πράγματα πάντως πᾶσι ἡ τοῦ ἅλματος παρεῖχεν ἀφαίρεσις. Τὸ δυσχερὲς δὲ τοῦτο καὶ ἀπορούμενον τοῦ πράγματος ἀλληγορικαῖς ἕτεροι πειρῶνται λύειν ἐξηγήσεσιν, οἵαν τινὰ Πτολεμαίου τοῦ Ἡφαιστίωνος καὶ Φώτιος ἐν Βιβλιοθήκῃ λέγει (153, a'. b'. cod. 190). Θαυμαστὸν δ', ὅτι ἐν τῇ ἀναγραφῇ ἐκεῖ τῶν τὸ ἅλμα ἐπιχειρησαμένων Σαπφὼ οὐ καταλέγεται. Τῶν τοίνυν νεωτέρων ἄλλοι ἄλλας ἀποφαίνονται περὶ τοῦ ἅλματος γνώμας, καὶ δίχα πολλάκις ταύτας φερομένας. Welcker μὲν πρῶτον ἐν δευτέρῳ (110) οὐκ ἀπίθανον λέγει τὴν Ἀττικὴν Κωμῳδίαν, ἀφορμὰς ἐκ τοῦ πυρώδους καὶ ἐμπαθοῦς τῆς ποιητρίας ἔρωτος, ἔκ τε ὑποδηλώσεων τάχα τινῶν ἐν τοῖς αὐτῆς ποιήμασιν, ὡς δὴ ἐκείνη ἀπειρῆκοί τε βιοῦσα, καὶ θανεῖν μᾶλλον αἱροῖτο, καὶ ἀπὸ τοῦ Λευκάτα ἀλέσθαι, καὶ ὅσα τοιαῦτα, ἐξευρεῖν τε καὶ διακοσμῆσαι τὸ ἅλμα· ἀλλ' οὐκ ἔστι τὸ ἀναγκάζον, ἐπάγει, ἡμᾶς πάντως ἀπιστεῖν τῷ πράγματι, ἢ ἀμφισβητεῖν περὶ τούτου· οἱ μὲν γὰρ χρόνοι τοιοῦτοι, ταραχώδεις τε καὶ τολμημάτων πλήρεις, Σαπφὼ δὲ θυμοειδής τις καὶ ἀνδρικὴ γυνή, ὥστε ἔχει μέν τινα πίστιν τὸ ἅλμα, καὶ δι' ἐκείνης ἡ πέτρα ἐπίσημος γίγνεται, ἀλλὰ πάντως τούτῳ ἐπιζήσασαν ἡγητέον ἐκείνην, φέρει δὲ (111) πολλὰ τούτου παραδείγματα. Ἐν πρώτῳ μέντοι (110) τῷ Neue ὁμολογῶν, σαφῶς τε καὶ διαῤῥήδην ἀρνεῖται ταῦτα μὴ πιθανὰ εἶναι, καὶ δὴ Πτολεμαίου σιωπῶντος ὡς ἀνωτέρω ἔφημεν, ἐν ταῖς περὶ Καλύκης διηγήσεσι τὴν ἀφορμὴν τοῦ πλάσματος τιθέμενος, δυσχερῆ δὲ τὸν πλοῦν διὰ τὸ λίαν ἀφεστηκὸς τοῦ τόπου ἡγούμενος, καὶ ταῦτα Kock ἀλλαχοῦ ψέγων τὴν αὐτὴν μὲν ταύτην προβαλλόμενον αἰτίαν (70 + 71), ἄτοπα δέ τινα λέγοντα περί τε ἀποστάσεων καὶ πετρῶν καὶ ὑδάτων, ὡρισμένως δὲ ἐν V$^{\varphi}$ ἐπὶ ταῖς ἐν τοῖς ποιή-

μασι τάχα ὑποδηλώσεσι στηρίζει τὸ πρᾶγμα· (ὅρα καὶ II, 135). Τὸ ἀρχῆθεν μετέωρον τοῦ Welcker δείκνυσι καὶ Plehn (187). Richter δὲ ὁ αὐτός ἐν πᾶσιν ἐκείνῳ, διχόρροπός τε τὸ πρῶτον, καὶ παντάπασιν ἀρνούμενος τέλος φαίνεται (14 + 17). Ἀρνεῖται τοῦτο καὶ Teufel ἐν Pauly's λεξικῷ, Flach δὲ εἰς Νύμφην τινά, ἣν δὴ Σαπφὼ ἐν τοῖς ποιήμασιν ᾖσεν, τὸ ἅλμα ἀναφέρει, καὶ ἐκ ταύτης εἰς Σαπφὼ μεταπεσὸν ἡγεῖται (II, 494 + 5).

Ἡμεῖς δὲ πρὸς ἅπαντα ταῦτα τοὺς λόγους κατατείνοντες, πᾶν μὲν ἀλληγορούμενον ἐνταῦθα βίᾳ εἰσάγεσθαι λέγομεν· καὶ γὰρ τὸ ἅλμα ἀληθές τε καὶ γιγνόμενόν ἐστι καὶ τῇ Ἱστορίᾳ βεβαιούμενον, Σαπφώ τε γυνὴ γενομένη τε καὶ βιοῦσα, καὶ οὐκ ἀλληγορία τις αὕτη. Πρὸς δὲ τὰ Welcker, Neue, Flach καὶ τῶν τοιούτων, ὡς δὴ ἐξ ὑποδηλώσεών τινων ἐν τοῖς Σαπφοῦς ποιήμασι τὰς ἀφορμὰς τὸ ἅλμα ἔχον, εὕρημα καὶ πλάσμα ἐστὶ τῶν Κωμικῶν, καὶ Ἀνακρέων λέγομεν ἡμεῖς ἐν τοῖς ποιήμασιν αὐτοῦ, καὶ Κύκλωψ παρὰ τῷ Ποιητῇ περὶ τοῦ ἅλματος λέγουσιν, ἐκεῖνος μὲν παίζων, ἀπειλῶν δ' οὗτος, ἄμφω δὲ πρὸς ἔρωτα, ἀλλ' οὐδὲν περὶ τούτων ἐπλάσθη ἀπὸ Λευκάτου ἅλμα· ὡς παρ' Ἀνακρέοντι (fr. 19, Bergk III),

„Ἀρθεὶς δηὖτ' ἀπὸ Λευκάδος
πέτρης ἐς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι.

Πρὸς δὲ τοὺς κωλύοντας Σαπφὼ ἐς Λευκάδα πλεῖν, καὶ τήν τε πολλὴν προβαλλομένους ἀπόστασιν, καὶ εἶναι ἐν Μυτιλήνῃ βαθέα ὕδατα, καὶ ὑψοῦ αἰρομένας πέτρας, ἕνα φαμὲν ἡμεῖς, τὸν Λευκάδιον βράχον, καὶ μόνα τὰ ἐκεῖ ὕδατα εἶναι τὰ ἐκ τῶν τοῦ δυσέρωτος ἐλευθεροῦντα δεινῶν, ἢ καὶ θανατοῦντα τὸν κατεχόμενον· ὅρα καὶ Richter (14). Σαπφὼ ἔπειτα ἐν Σικελίᾳ ἦν, οὐ πόρρω Λευκάδος κειμένῃ, ᾔδετο δ' ἐκεῖ καὶ ἐθρυλεῖτο ἡ Καλύκης συμφορά, ὅπερ καλόν, ὅπως ἐκείνην πρὸς τὴν πρᾶξιν παροξύνῃ τοῦ ἅλματος, θεοῖς τε ἄλλως καὶ ἥρωσιν ἡγιασμένου τούτου. Ἐν τέλει ἄρα βεβαιῶσαι μὲν ἡμεῖς οὐ δυνάμεθα, πιθανώτατον μέντοι ἡγούμεθα τὸ ἅλμα εἶναι τὸ περὶ Σαπφοῦς λεγόμενον, σωθείσης ταύτης ἀπὸ τοῦ θανάτου, ὡς καὶ πολλῶν ἄλλων. Δοκεῖ δ' ἡμῖν καὶ ταῦτά πως τὰ ἑξῆς ἀληθείας ἔχεσθαι· μετὰ γὰρ τὸν ἔρωτα, καὶ τὴν εἰς Σικελίαν φυγήν, ἅπερ ἡμῖν ἄμφω βεβαιότατα ἀποδέδεικται, καὶ μετὰ τὸ ἅλμα, ὅπερ καὶ τοῦτο πιθανώτατον ἡγούμεθα, οἴκαδε

κατελθοῦσα ἡ Ποιήτρια, οὐκέτι, παρ' ἡμῖν γε κριταῖς, γνώριμος πάνυ καὶ ἐπίσημος οὖσα διατελεῖ, καίπερ οὐ παύεται δήπου τάς τε Μούσας θεραπεύουσα, καὶ τὴν τέχνην ἀσκοῦσα. Ταῦτά πως καὶ Welcker φρονεῖ ἐν πέμπτῳ (239).

Ταῦτ' εἰσιν, ἅπερ ἡμεῖς ἀληθῆ περὶ Σαπφοῦς ἐκ τῶν ἡμετέρων πορίσασθαι μελετῶν οἷοί τ' ἦμεν· καὶ ἦν μὲν ἄρ' ἂν δίκαιον ἐνταῦθα, τοὺς πολλοὺς ἀναγράφειν ἐπαίνους, ὧν περ καὶ μεγάλων ἀρχαῖοί τε καὶ νεώτεροι τὴν ποιήτριαν ἠξίωσαν, καὶ τὰς τιμάς, αἷς περ αὐτὴν πόλεις τε καὶ ἰδιῶται ἐν γραφαῖς καὶ ξοάνοις καὶ ἀγάλμασιν ἐτίμησαν ἑτέροις, καὶ νομίσμαθ', ἅπερ ἐπὶ τῇ τιμῇ αὐτῆς ἐκόψαντο. Ἀλλ' ἐν τελευτῶντι τῷ ἡμετέρῳ ἔργῳ, ἐξ ἐπιμέτρου τινὸς τοῦτο ποιεῖν ἐν νῷ ἔχοντες, εἰς τὸ τρίτον ἤδη μεταβαίνομεν Κεφάλαιον, τὰς κατὰ Σαπφοῦς διαβολὰς ἐν τούτῳ ἐξετάζειν τε καὶ ἅμα πειρᾶσθαι, ὅση ἡμῖν δύναμις, ταύτας ἀνασκευάζειν, τοῦτο σκοποῦντες.

Force m'est trop.